It is worth mentioning two late Byzantine examples of *laudes urbium.* Manuel Chrysoloras in his letter to the emperor John Palaeologos praises Rome for its location, its walls, buildings, monuments, natural beauties. Next, he remarks that the New Rome surpasses the old one in beauty and size. He wonders at Constantinople's site, harbour, walls, buildings; and he ends his encomium with the praise of St. Sophia. Theodore Metochites in *Nicaeus* refers to the glorious past of Nicaea, describes the natural setting of the city, the sea, the rivers, the lakes, the plains, the plants, all the delights, the buildings. He stresses the beauty, the size and the power of the fortifications and also the *kallos* of its churches.

As we will see, Metochites follows the same practice in *Byzantios* - the first encomium exclusively dedicated to Constantinople - as in *Nicaeus.*[66]

---

[64] See John Phocas' ekphrasis of the cities of the Holy Land (*PG* 133, col. 928B), Bessarion's encomium of Trebizond (*Neos Hellenomnemon* 13(1916), 147-194), John Eugenikos' encomium of Trebizond (*Archeion Pontou* 20(1955), 26-27), of Corinth and Komi (*Παλαιολόγεια καὶ Πελοποννησιακὰ* 1(1912-1923), 48-54), of Imbros (*Anecdota Nova*, 129-131).

[65] Doxap. II.514 ἔστι γὰρ ὅτι καὶ διῃρημένως φαίνεται, καὶ φανερώτερον τοῦτο μᾶλλον ἐπὶ τῶν πόλεων, ἐν αἷς ἥ τε θέσις καὶ τὸ μέγεθος καὶ τὸ κάλλος παραλαμβάνεται. Καὶ αὖ πάλιν πρὸς τὸ ἀρχαιότερον ἀνατρέχοντες τὴν ἐξ ἀρχῆς αὐτῆς οἰκοδομὴν καὶ τὴν τέχνην καὶ τὴν ὕλην καὶ τὴν περιγραφὴν καὶ τὸν χρόνον παραλαμβάνομεν. See also H. G. Beck, "Antike Beredsamkeit und byzantinische Kallilogia", *Antike und Abendland* 15(1969), 91-101; H. Hunger, *Die hochsprachliche profane Literatur der Byzantiner*, 65ff; eiusdem, "Aspekte der griechischen Rhetorik von Gorgias bis zum untergang von Byzanz", *Österreichishe Akademie der Wissenschaften, Phil.Hist.Kl.Sitzungsberichte* 277.3, 1-27.

[66] Themistios is Constantinople's first systematic panegyrist. He set up the pattern of "topoi" for the subsequent laudations of Constantinople (: favourable geographical position on the confines of Europe and Asia, propitious climate, magnificent architecture, hearth of arts and letters, coequality with Rome, the city's close connection with the imperial power). However, he and almost every other author combine a praise of the city with one praise of the emperor. Only

Following Menander's precepts and all the previous examples of praises of cities, he praises the site of the city (9-20), the seas (21-26), the plains, the mountains and their produce (27-31), the walls, the buildings, all the monuments (52-59) and the Great Church, St. Sophia (70-72). He refers to its long history and to its glorious founder, Constantine the Great (32-51) and praises the city for being the centre of letters (73-75) and the source of true faith (85-95). However, he devotes the last paragraphs of his encomium to some other great cities of the past (Babylon, Antioch, Alexandria, Rome) and succeeds in proving that Constantinople is the Unrivalled and Eternal city, *The City*.[67]

E. Structure and contents of *Byzantios*

In the introduction (1-8) the rhetor believes that it is his duty to praise the city.[68] His encomium will be the result of all the wonderful things he is surrounded by; it will be his repayment to all he has received from the city and from its emperors. What is more, despite the fact that he is conscious of his

---

Metochites and Karbones, who is a contemporary of Gregoras and imitates Metochites, wrote an encomium exclusively of the city. Karbones's encomium is fragmentary, preserved in the Vaticanus Graecus 444, 1^{v}-4^{v} and 290^{r}-293^{v}. For its edition, see E. Fenster, *Laudes Constantinopolitanae*, 341-354.

[67] In the commentary I refer to other rhetorical works which Metochites was acquainted with and followed even in the wording (e.g. Aelius Aristides, Libanius, and especially Gregory of Cyprus). In the appendix I show how close Metochites' encomium is to Menander's precepts.

For specific aspects of rhetorical descriptions of cities see E. Fenster, *Laudes Constantinopolitanae* (Munich, 1968), C. J. Classen, *Die Stadt im Spiegel der Descriptiones und Laudes Urbium* (Hildesheim, Zurich, New York, 1986); see also H. Saradi, "The Kallos of the Byzantine city: the development of a rhetorical topos and historical reality", *Gesta* 34(1995), 37-56.

[68] The structural divisions are not in the original manuscript nor have they been made by any previous editor. The punctuation, the chapter divisions and the numbering present in the edition all belong to the current editor.

difficulty in treating the subject, his extreme love towards the city incites him to attempt the praise.

Thus, the eulogist commences with the presentation of the favourable geographical position of the city (9-20). He would prefer to present its beauties to foreigners rather than to the locals, because he knows that, in this case, his inability to praise the city as it is due may be revealed. In comparison to all the other cities, Constantinople combines land and sea; thus, it gives rise to everybody's admiration. It is the most beautiful place, a form of natural bridge between Europe and Asia. Its convenient location has captivated many writers, who have dealt with it. Its main features are: 1. its perfection, 2. its position in the centre of the world, 3. its possession of a great range of goods, which are distributed throughout the world with great facility.

Where the two greatest continents meet, some of the greatest seas meet (21-26). As the sea gets into the city through a very narrow strait, it calms down and it creates little gulfs and harbours for the city. To the south, Propontis is like a garden with countless beauties and with islets which welcome visitors and prepare them for all the amazing things they might come across in the city. On this side, the sea is like a mirror, reflecting the beauty of the sky. On the other side, to the north, the Euxine provides so wild a spectacle that it attracts the visitor's attention towards the land. As there are awesome things around the city, the rhetor rightfully regards it as the copy of the whole world.

At this place the land and the sea, the plains and the hills and all the winds become one (27-31). Its soil is equally fertile at its flat and mountainous parts, while the winds contribute to the easy production of all kinds of fruit. There is

such abundance in goods that they are exported worldwide; while the city caters for all tastes and needs.

In the succeeding paragraphs (32-50) there follows an essential part of the encomium of a city: the praise to the founder of the city, Constantine the Great. It is the rhetor's obligation to praise the man who is famous for having offered the world such a city; for the establishment of Christianity throughout the world, for his faith; for being God's chosen one, His right hand; for executing all the plans he had in mind. Such a city could have had no other founder but only Constantine the Great. Constantine the Great's encomium constitutes the encomium of the city and vice-versa. The city constitutes an inheritance worthy of its founder's glory and genius. It is the biggest, the strongest and the most beautiful one; it is the citadel, the heart of the empire, since everything is directly associated with and dependent on it. Besides, he is the wise, the ingenious man, who could have been famous for the selection of such a strategic point and for the creation of such a city and only. According to the eulogist, the strategic significance of the place is proved by the fact that, in the past, many people aspired to conquer it in order to control the surrounding area. So the city was built on a tested site, with the sole concern of governing the universe. Its foundation is interwoven with the free expression and the establishment of Christianity. Its founder and first king is also the first Christian king, who is regarded as a saint and equal to the Apostles; while the city is the source of piety.

At this point, Constantine the Great's encomium is concluded and the rhetor turns his attention to the city walls and to all the works they encompass (51-59). High and unique walls preserve, like treasuries, countless public and private buildings, which are characteristic of their amazing beauty, power and

magnitude. Even the ruins provoke one's admiration for their power and beauty. Furthermore, it is difficult for one to enumerate and comment on the buildings that stand intact as is their due. There are numerous churches and monasteries, where people find consolation; colonnades, streets, schools, theatres, reservoirs, fountains, baths, hospitals, works of art, columns, statues. All these are so beautiful that noone can consider oneself capable of treating them as they deserve.

The city is so big that has buildings and works of art at every point (60-66). These are characteristic of their artistic detail and by the abundance of construction materials, which come from all over the world. Noone else but the city has full possession of everything. However, it is not content with them, it constantly makes new additions. The goods are so plentiful that they are open-handedly offered in great numbers. According to the rhetor, even some of the existing possessions of the city would be enough to supply many of the most famous cities with.

The next part of the speech (67-69) is dedicated to the patroness of the city, to the Mother of God. The Mother of God is the queen of the city, where She rules the whole world from. As the city is Her exclusive possession, countless are the beautiful churches and convents dedicated to Her Grace. On its land all the holy rites are performed, while the treasures of the Christian faith are well-preserved.

The greatest wonder of the whole world, a work exclusively created by God, is the church of Haghia Sophia (70-72), which is considered a miracle, a work not made by human hands, since it defies the rules of nature and art and cannot possibly be compared not even with any of the seven wonders of the world. This

church is the representation of heaven on earth. As the city is the heart and the eye for the whole world, so the church is for the city.

Everything in the city is beautiful, useful and wonderful (73-75). Everything constitutes a treasury of knowledge, helps everyone to be aware of the history of the city and offers food for thought. It is the only city which remains the seat of science, of wisdom and rhetoric, the hearth of education for the whole world.

The city is the common harbour for all things, not exclusively for the goods of wisdom (76-81). It is the common treasury of the earth; it all ends in this city and is offered to everybody by this city. For this reason, the city harbours are always full of ships, people and goods. It is thought to be the common homeland of all nations, where they gather, exchange their products and fulfil any wish whatsoever. Only here can one learn everything about each nation. The most wealthy and fortunate people in this life are the citizens of Constantinople, since they relish on goods in great abundance and can associate with people from the whole world. The citizens of Constantinople have achieved a life full of experiences which is of prime importance: namely, living a wholesome, yet short, life rather than a long and empty one.

The fame of the city is such that it is imparted to its citizens (82-84). Even if the citizens have nothing significant to show, they become distinguished thanks to the fine reputation and the glorious past of their homeland.

The city stands out not only because of its secular but also its religious splendour (85-95). It is closely connected with the Christian faith and it preserves all its heirlooms as well as its rules. Apostle Andrew has been its mentor, while Constantine the Great has been its founder and first emperor. The city remained attached to the Christian faith and immediately disposed with Julian, the only

impious emperor. All the well-known cities renounced their faith and failed; however, only this city remained loyal to divine and human affairs; thus, it was a metropolis and the source of piety. Its predominance in religious affairs is also proved by the fact that almost half the oecumenical councils took place on its grounds. During these councils, the dogmas of the Christian religion were resolved and the most excellent men were active members; those enjoyed honour both on earth and after death. Furthermore, its land is adorned by many beautiful and big churches, embellished by works of sculpture and painting and by precious votives; services and rites take place, marvels are accomplished in fulfilment of some prayers.

In the next five paragraphs (96-100) the rhetor brings back the praise of the unique and ideal convenient conditions in the city: its mild climate, the fertility of the land, the beautiful seas. He revisits the discussion about the harbours, the walls, the buildings and the various artifacts; he mentions the presence and the friendly relations of the foreigners who come to the city with the locals as well as the cultivation of the Christian faith.

In the epilogue (101-110), the eulogist compares Constantinople to some other significant and much-celebrated cities as regards its convenient location, its goods, its association with the rest of the world; and he proves, once again, the superiority of the City. First, he mentions Babylon, the city which, despite its high walls and fertile land, was inaccessible due to the absence of sea. Moreover, Alexandria was renowned because of its founder, its size and prosperity. On the other hand, Antioch was a very beautiful city; the Macedonians had founded both the last two; yet nothing could be compared to Constantinople and their splendour and glory soon vanished. Even Rome is much inferior to

Constantinople in all aspects. Only Constantinople is the spiritual home and the magnet for all, because of its many goods and its illustrious paternal inheritance. Thanks to this inheritance the inhabitants of Constantinople remain infinitely celebrated.

CONSPECTUS SIGLORUM

TEXTUS

< >	verba vel litterae a me suppletae
[ ]	verba quae delenda censeo

APPARATUS

V	Cod. Vindobonensis Philologicus Graecus 95
V^{ac}	codex V ante correctionem
V^{pc}	codex V post correctionem
V^{mg}	codex V in margine
V^{sl}	codex V supra lineam
γϱ.	γϱάφεται
in ras.	in rasura
iter.	iteravit
l. n.	legi nequit
n. l.	non liquet
ras.	rasura

TEXT

(f.233^{v}) Βυζάντιος ἢ περὶ τῆς βασιλίδος μεγαλοπόλεως

1. Πλεῖσται μὲν ἀφορμαὶ πᾶσι πρὸς τὴν παροῦσαν ὑπόθεσιν, κἀμοὶ δ' οὐχήκιστα, καὶ οὐκ οἶδ' ὅτῳ μᾶλλον ἂν ἢ ἐμοί, καὶ μεθ' ὅ,τι μεγίστης τῶν δικαίων ἀνάγκης παρακαλοῦσαι πρὸς τὴν ἀπὸ τῶν λόγων φορὰν τῇ πόλει. Οὐ μὴν ἀλλὰ καὶ ὅμως πᾶσαι παντάπασιν ἐργώδεις καὶ οὐ ῥᾴδιαι περαίνειν οὔθ' ὅπως ἄρα δίκαιον οὔθ' ὅπως ἄρα βούλησις ἂν ὅστις ἅψαιτο. Πρῶτον μέν, ὃ φύσει τοῖς μεγίστοις πράγμασι καὶ τῶν ἄλλων ὑπερηρμένοις ἔπεσθαι ξυμβαίνει, ἐξίστησιν εἰς ἑαυτὰ πάντα καὶ ὀφθαλμὸν ἐπόπτην καὶ νοῦν καὶ χειροῦται· καὶ ἅμα τέ τις κατεῖδε καὶ ὁπηοῦν πεπείραται καὶ ἅμα λοιπὸν αὐτίκα συνέσχηται προσέχειν εὖ μάλα σφίσιν ἀνάγκην ἔχων ὡς οὐκ ἐξὸν ὅλως ἔπειτα ἔχειν ἠρέμα καὶ τοῦ πράγματος οὐκ ἀφροντίστως οὐδ' ἄσειστον ἀναχωρεῖν ἀλλὰ πρὸς τ' ἄηθες ἐπιμαρτύρεσθαι λόγους θαύματος. Πῶς ἂν εἴπῃ τις εὐψύχως τῶν ὁρωμένων <τὸ>[69] πραττόμενον; Τίς ἂν οὕτως εἴη φρενῶν ἔξω καὶ τῶν καλλίστων τε καὶ μεγίστων ὑπὸ μικρογνωμοσύνης, οὐκ οἶδ' ἥστινος, παντάπασιν ἀσύνετος καὶ ἀμαθὴς καὶ ἀνέραστος καί, ὡς ἀληθῶς ἂν φαίην, ἀναίσθητος (f.234^{r})προσορᾶν, ὃς οὐκ ἂν ἐνταῦθα τουτὶ μάλιστα δοκοίη καὶ τῇ βασιλικῇ ταύτῃ πόλει καὶ τοῖς κατ' αὐτὴν κάλλεσί τε καὶ θαύμασι τοὺς λογισμοὺς τούσδε καὶ τὴν κρίσιν μάλιστ' ἂν ἀξιοίη, ὡς οὐκ οἶδ' εἴ ποτε ἄλλοτ'[70], οἶμαι, ἄλλῳ τῳ τῶν ἀπὸ τοῦ παντός τις αἰῶνος ἢ νῦν μάλιστα τῶν ἁπάντων ἄλλῳ τῳ.

2. Καὶ τοῦτο μὲν οὕτω πρῶτον ὡς εὐθὺς ἰδεῖν ὅσα παρέχεται θαυμάζειν ἡ πόλις αὐτίκα σφόδρ' οὕτω δὴ κατὰ τὸ κρατοῦν τῆς φύσεως ἔθος εἰς τοὺς λόγους ἕλκοντα, καὶ τοῦτο μὲν οὕτω πᾶσι κοινόν· ἕτερον αὖθις ὅτι μοι καὶ

[69] τὸ addidi

πατρὶς ἡ πόλις, ἕτερον αὖθις ὅτι μοι καὶ λόγων τροφὸς καὶ τούτους πάντως ἀντεισφέρειν αὐτῇ πολὺ δίκαιον ὥσπερ τινὸς ἐράνου πάνυ τοι δοκοῦσαν εὔλογον ἀντίδοσιν, ὧν ἀμέλει παμπλείστων, φθάσας αὐτῆς ἔχω λαβὼν καὶ κομιδῇ παθὼν εὖ ἀπομετρεῖν καὶ αὐτὸς ἔπειθ' ἡντιναοῦν ἀναγκαστὴν ὀφειλήν· καὶ γὰρ δὴ τοσοῦτό γ' ἂν εἰπεῖν ἔχοιμι σαφὲς καὶ παντὶ ξυνιδεῖν ὡς, εἰ μὲν χρημάτων βοήθεια προὔκειτο καὶ δωρεὰ τῇ πατρίδι ἢ κατ' ἀνάγκην ἢ κατ' ἄρα καὶ κόσμον ὁντιναδή, ὅστις ἄν, οἶμαι, μὴ πρόθυμος ἁπήντα τῇ χρείᾳ τῶν ἐνόντων ῥᾷστά τε καὶ ἥδιστα ἐπιδιδοὺς καὶ εἰσφερόμενος, φαῦλος ἂν ἦν, καὶ οὐκ ἄν τις ἄλλως ἐρεῖ· ἀλλὰ τοῦτο νόμιμον ἀσάλευτον κατὰ πάντων ἀνθρώπων καὶ κατὰ παντὸς ἀληθῶς τοῦ χρόνου· τοὺς δὲ μένοντας ἀεὶ λόγους καὶ ἀσυλήτους ἐπίπαν καὶ ἀζημίους μὴ καὶ τούτους ἐκ τῶν ἐνόντων συνεισφέρειν φεύγων τις εἰσαεὶ καὶ παραιτούμενος οὐκ οἶδ' ἔγωγε πῶς ἂν ἔπειτ' ἀνεμέσητος εἴη.

3. Καὶ μήν, εἴ τις ἄρα καὶ τῷ μεγίστῳ πολιστῇ βασιλεῖ ταύτης τῆς μεγίστης καὶ βασιλίδος ὀφείλεται χάρις τοῦ τοσούτου πράγματος καὶ τῆς τοσαύτης ὑπερφυοῦς, (f.234^{v})ἔμβραχύ γ' ἐρεῖν, φορᾶς εἰς τὸν βίον, πάντως [δ'][71] ὀφείλεται καὶ δικαίως εὖ μάλα καὶ παντὶ πολιστῇ πολίταις αὐτοῦ καὶ παντὶ μεγίστων τινῶν καὶ καλλίστων δημιουργῷ πᾶσιν εὐγνώμοσι καὶ σοφοῖς θεαταῖς καὶ κριταῖς. Τί τις ἂν ἐνταῦθα λέγειν ἔχοι περὶ Κωνσταντίνου τοῦ θείου, ᾧ καὶ τῆς χριστιανικῆς αὐτῆς εὐετηρίας καὶ παῤῥησίας καὶ προκοπῆς καὶ βασιλικῆς, ὡς εἰπεῖν, πολιτείας καὶ τῆς ἐλευθερίας τοῦ καθ' ἡμᾶς δόγματος καὶ τοῦ κράτους εὐγνωμοσύνη πᾶσα χριστιανοῖς γε πᾶσιν ἀμέλει προσοφείλεται καὶ μνήμη μετ' εὐφημίας τὸν ἅπαντα χρόνον καὶ δόξα παμμήκης καὶ πολὺ

[70] ἄλλο τ' V
[71] δ' seclusi

προήκουσα τῶν ἄλλων καὶ κρότοι λόγων καὶ πάντων πραγμάτων; Καὶ τό γε μὴν ἄρα ποσόν[72], οἶμαι, πρὸς τὸν παρόντα λόγον ἕλκει καὶ προβάλλεται πρόφασιν, ὅσην εὔλογον ἐνταῦθα γίγνεσθαι.

4. Τὸ δὲ δὴ τῶν ἐμῶν τουτωνὶ μεγίστων τε καὶ πάντ᾽ ἀρίστων βασιλέων καί, ὡς ἀληθῶς, ἀπογόνων τε καὶ κληρονόμων τῆς ἐκείνου πίστεως καὶ ἀρχῆς καὶ κατ᾽ ἀμφότερα μεγαλοδοξίας, ὅσον ἄρα, πρὸς τὸν παρόντα συμπείθει καὶ καταναγκάζει λόγον. Οἳ κρατοῦσι μὲν τῆς πόλεως ἐκεῖθεν σφίσιν προσηκούσης, κοσμοῦνται δὲ ταύτῃ, τῷ καλλίστῳ πάντων καὶ μεγίστῳ κατ᾽ ἀνθρώπους καὶ ἀπαραμίλλῳ κτήματι, κοσμοῦσι δὲ ταύτην, ὡς ἂν αὐτῆς γε ταύτης ἀμέλει πρὸς τὸν βίον εὐγενὴς ἐπίδειξις, καὶ αὐτῆς ἄξιοι καὶ τοῖς οἴκοθεν αὐτῶν κάλλεσι προσθήκη[73] δόξης αὐτῇ καὶ κάλλους γίγνονται· καὶ οἷς μὲν ἄρα τῆς μεγίστης[74] ἁπασῶν ἐκ παντὸς αἰῶνος εἰσὶν ἄρχοντες, τοῖς μεγίστοις ἀριθμοῦνται σὺν ὀλίγοις τῶν ἐκ τοῦ παντὸς αἰῶνος, καὶ πάντων ἐν τοῖς νῦν μέγιστοι· οἷς δὲ ξυμπεφύκασι ταύτῃ πάντα τρόπον, ὡς ἔπος εἰπεῖν, (f.235[r])καὶ πολὺ τὸ πρὸς αὐτὴν εὔλογον ἔχουσι καὶ ἡρμοσμένον ἄρχειν τε καὶ ξυνεῖναι καὶ κοινωνεῖν οὕτως ἄρα καταθεῖον ἀντιδιδόντες ἀλλήλοις τὰ προσήκοντα, αὐτοί τε τὰ κατ᾽αὐτοὺς[75] καὶ ἡ πόλις τὰ κατ᾽ αὐτήν[76], καὶ χωροῦντες καὶ ἱκανούμενοι τὴν ἀλλήλων εὐδαιμονίαν τε καὶ μεγαλοφυίαν, ὅσον τοῦτ᾽ ἀμφοτέροις εἰς δόξαν καὶ κόσμον κατὰ πάντων ἀνθρώπων συνακουόμενον· οἷς δὲ περὶ αὐτὴν οὕτω τὸν ἀεὶ χρόνον κατεπείγονται καὶ σπουδάζουσι πάσαις ἐπιμελείαις καὶ παντὶ τῷ γιγνομένῳ καὶ πᾶσι πράγμασι· καὶ ἀεὶ κάλλιον καὶ πολὺ κρεῖττον πράττειν

---

[72] πόσον V
[73] καὶ in ras. post προσθήκη V
[74] μεγίστης V[ac]: μεγίστοις V[pc]
[75] αὐτοὺς V[pc] : αὐτὴν V[ac]
[76] αὐτὴν V[pc] : αὐτοὺς V[ac]

εὖ μάλιστ᾽ ἂν ἡγοῖντό[77] τε τῷ λόγῳ καὶ ταῖς αὐτῆς εὐφημίαις· καὶ οὐδὲν ἂν οὕτω σφίσιν ἥδιστον ὡς τοῦτ᾽ ἄλλο τι τῶν ἁπάντων καθάπερ ἐραστῇ βελτίστου πράγματος βελτίστῳ παιδικῶν ἔπαινος ἅμα τε προσμαρτυρῶν τῇ σπουδῇ τἀνδρὸς καὶ ἅμα θερμαίνων ἔτι τὸν πόθον αὐτῷ καὶ προσεξάπτων. Ἃ μὲν οὖν πρὸς τὴν παροῦσαν ὑπόθεσιν τῶν λόγων κἀμὲ καὶ πλείστους εἰκότως ἂν ἄλλους συνέλκῃ καὶ βιάζηται, καθόλου γε ὡς εἰπεῖν, τῶν πλείστων ἐκλεξάμενον, τὰ καὶ πλεῖστον τῶν ἄλλων δοκοῦντα κατισχύειν εἰς ταυτηνὶ τὴν σπουδὴν ταῦτά ἐστιν.

5. Ἀλλὰ καὶ ὅμως τούτων ἕκαστον, ὡς ἔφην, καὶ πάντα μάλισθ᾽ ὁμοῦ καθάπαξ ἀνέφικτα, ὥστε πρὸς λόγον ἐνταῦθα λοιπὸν ἁπαντᾶν ἐξεῖναι καὶ τοῦ πράγματος ἀξίως γίγνεσθαι. Ἢ πῶς γὰρ οὔ; Ἢ πόσης ἕκαστον τῆς ἱκανώσεως καὶ διαρκείας δεῖται κατεπιχειρεῖν εἰς τόδε τοὔργον καὶ[78] ὀντιναοῦν ἔπειτα συμμετρούμενον καὶ τῶν πλείστην ἐχόντων περὶ τοὺς λόγους σχολὴν καὶ τὰ μέγιστα δυναμένων τε καὶ δοκίμων, οὐχ ὅσοι καθ᾽ ἡμᾶς οὕτω πάνυτοι καὶ τοῦ κράτους τῶν λόγων πόῤῥω (f.235[v])καὶ τῆς περὶ αὐτοὺς μάλιστα σπουδῆς καὶ σχολῆς πόλλ᾽ ἔτι πω καὶ νῦν ἔτη προωστρακισμένοι. Κἄν, εἴ τις ἀμέλει πρὸς τοῦτο βλέπειν ἀξιοῖ τὸ τοῦ πράγματος αὐτοῦ δίκαιον εὖ μάλα πραττόμενος, πλείστη μὲν ἡ ἄνοια, πλείστη δὲ ἡ αἰσχύνη καὶ πλατὺς δὲ ὁ γέλως εἰς νοῦν ὅλως τὴν ἐγχείρησιν ταύτην βαλέσθαι καὶ προσάπτεσθαι ὥσπερ ἂν τῶν ἐπ᾽οὐρανοῦ σωμάτων ἅπτεσθαι πειρᾶσθαι καὶ τῷ χεῖρε κινεῖν εἰς τοῦτο ἢ καὶ πεζεύειν καὶ φέρειν[79] εἰς ἀτλαντικὰ πελάγη νηχόμενον ὑποβρύχιον ἢ καὶ παραπλήσιον ἄρα τόλμημα τῷ κατὰ τὸν μῦθον τῶν Θετταλικῶν μειρακίων, ὡς ἄρα ἐτόλμησαν ἐκεῖνοι τὴν εἰς οὐρανοὺς πορείαν διὰ τῆς τῶν ὀρῶν ἐπιθέσεως ἐπ᾽ ἄλληλα.

---

[77] ἡγοῖντό ego : ἥδοιντό V
[78] καὶ V[sl]

6. Οὐ μὴν ἀλλ᾽ ἔστιν, οἶμαι, καὶ τούτων ἐχόντων οὕτω καὶ συγγνώμην ἀξιοῦν ἐνταῦθα καὶ νέμειν οὐκ ἔξω παντάπασι λόγου κατ᾽ ἀμφότερα σκοπούμενον. Ἢ γὰρ τὸν ἐμὸν τουτονὶ περὶ τὴν πόλιν ἄσχετον ἔρωτα καὶ ἀκάματον πρὸς τὴν παροῦσαν ἐπιχείρησιν ὑπολογίσασθαι χρή, καὶ ὡς οὐκ ἔξεστι παντὸς ὁτουοῦν ἐρῶντα πράγματος ἔπειτα σωφρονεῖν οὐδ᾽ ἑαυτοῦ, καθόλου γε εἰπεῖν, καὶ[80] τῶν προσηκόντων λογισμῶν εἶναι ἀλλ᾽ ἐξάγειν παντάπασι τῶν δικαίων ἔξω καὶ ξυμμέτρων αὐτῶν ὑπὸ τῆς ἔσω φλογὸς ἄτρεπτον ἐξιστάμενον, καὶ πάθος τοῦθ᾽, ὡς οὐκ οἶδ᾽ εἴ τι πάντων τῶν ἄλλων συγγνωστὸν τοῖς καλῶς ἐφορῶσι καὶ κρίνουσι μετὰ τῆς κοινῆς φύσεως· καὶ πᾶσαν ἔχουσι συγγνώμην οἱ περὶ τὰ παιδικὰ τὸν ἀεὶ χρόνον σπουδάζοντες καὶ τὸν νοῦν ἔχοντες ὅλον καὶ τοῖς περὶ αὐτῶν[81] ἀεὶ λόγοις τρίβοντες καὶ πᾶσαν κόπτοντες ἀκοὴν ἀφειδῶς ἐν τούτοις. Ἢ τό γε δεύτερον ἔοικα μάλιστα, καθάπερ οἱ τὰ πρὸς τὸ θεῖον καλλιερήματα καὶ τὴν νομιζομένην (f.236[r])ἀπαραίτητον ἡντιναοῦν φοράν, καὶ αὐτὸς ἐνταῦθα τῇ πόλει τὸ γιγνόμενον προθυμεῖσθαι ὑπ᾽ ἀνάγκης τῶν εἰρημένων ἄνω καὶ λόγων καὶ τρόπων ἑλκόντων καὶ νόμων, ὡς εἰπεῖν, ἀφύκτων (καὶ παρελθεῖν ὅλως οὐκ ἔξεστι νοῦν ἔχοντα καὶ φροντίζοντα τῶν δικαίων) καὶ ὀφείλων μὲν φέρειν· ἂν δ᾽ οὐχ ἱκανὸν οὐδ᾽ ἐπάξιον, οὐκ ἀσύγγνωστον· καὶ τοῦτο γὰρ νόμιμον, ὡς ἀληθῶς, ἀκίνητον κατὰ πάντων ἀνθρώπων, ἐπὶ παντὸς πράγματος. Οἷς ὀφείλει τις πάντως εὐγνωμονῶν, οἷς ἔχει πάντως φέρειν καὶ χρῆσθαι. Ὁ μὲν γὰρ τοῖς μεγίστοις οἴκοθεν ὑπό τινος ἴσως φιλοτιμίας ἐπιβάλλων πράγμασι, μὴ πρὸς ἀνάγκην τινὰ παραβαλλόμενος, τυγχάνων μὲν θαυμάζειν ἄξιος, τῶν καλλίστων ἐραστὴς ἐπιγνώμων καὶ συνετὸς καὶ θαυμαστὴς ἀξιόχρεως. Ἂν δὲ τοὐναντίον

[79] φέρειν ἑαυτὸν aut φέρεσθαι potius
[80] καὶ V^{sl}

ξυμβαίνοι, πάντων ἀβελτερώτατος, οἶμαι, καὶ πάντων ἐγκλημάτων καὶ πάσης εὐθύνης ὑπόχρεως τῆς τοσαύτης ἄρα τόλμης καὶ τοῦ θράσους ἐκών γε εἶναι γέλωτα ὀφλισκάνων καὶ τῶν μὴ προσηκόντων ἀφειδῶς ἑαυτοῦ παντάπασιν ἀντιποιούμενος. Ὁ δ' ἀνάγκην ὀφειλῆς ἀπαραλόγιστον προσάγειν ἔχων ἐκλείπων μὲν ἀμέλει τὴν ἀπαραίτητον λειτουργίαν ἀσύγγνωστος ἐπὶ πᾶσι κριταῖς, πρὸς δὲ τὴν ὄφλησιν ἀπαντῶν ἀμηγέπη συγγνωστὸς μὲν οὐ τυγχάνων· ἂν δ' ἐφικνοῖτο προθυμούμενος, οὐκ εὐγνώμων μόνον ἀλλὰ καὶ ἴσως εὐδαίμων, μὴ καθάπαξ ὑστερίζων ἐπὶ τοῖς καλλίστοις ἢ γνώμης ἢ τύχης ἢ δυνάμεως.

7. Καίτοι τί λέγω; Μάλιστα μὲν ἔγωγ' οἶμαι τῷ παντὶ βέλτιον εἶναί μοι πρὸς τὴν παροῦσαν χρείαν οἵῳ τ' εἶναι καθάπαξ ἱκανῶς ἔχειν καὶ τῆς ὅλης ἐπιχειρήσεως καὶ τοῦ πράγματος ἀξίως ἅπτεσθαι κἀμαυτοῦ (f.236^{v})πειρᾶσθαί τε καὶ πεῖραν οὕτω διδόναι· καὶ τοῦτο κέρδος ἂν οὐ τῇ πόλει μᾶλλον ἢ ἔμοιγ' αὐτῷ πρὸς αὐτὴν ἀνενδεῶς ἐσκευᾶσθαι καὶ τῶν περὶ αὐτὴν καλῶν καὶ θαυμάτων ἐξεῖναί μοι τὸν λόγον εὖ μάλα προσάγειν ἐραστὴν οὐκ ἀνάρμοστον οὐδ', ὡς εἰπεῖν, ἀπάδοντα. Ἐπεὶ δὲ τοῦτο παντὸς μᾶλλον ἀνέφικτον περαίνειν, οὔκουν γέ ἐστιν ὁτῳοῦν τῶν ἁπάντων, ὅσοι περὶ τοὺς λόγους ἔχουσι, οὐδὲν ἧττον τοῦθ' οὕτως, καὶ πάντες ἂν οὑτωσὶ συμφαῖεν, εἰ μὴ μαίνοιντο· καὶ τοῦτο δὴ λοιπὸν πρὸς ἐμοῦ κρίνω μετὰ τῶν ἄνω τοσούτων δικαίων, ἃ προσαναγκάζει κομιδῇ τὸν παρόντα λόγον, οὐκ αἰσχυνόμενος αὐτὸς ἅπτεσθαι πόῤῥω φέρων, ὅτι δὴ καὶ πάντες οὕτως ἂν [ἂν πάντες][82] ἅπτοιντο διὰ τὸ τῆς ὑποθέσεως αὐτῆς οἷον ἄληπτον καὶ καθάπαξ ὑπὸ μεγέθους ἀδύνατον τυχεῖν καὶ περισωθῆναι[83]. Ἐκ μὲν οὖν ὧντινων ἄρα τῶν λογισμῶν καὶ τῶν δικαίων ἅμα τε τὸ τῆς

---

[81] αὐτῶν V^{pc} : αὐτὰ V^{ac}
[82] ἂν πάντες seclusi
[83] παρισωθῆναι V

παρούσης ὑποθέσεως τῶν λόγων, ᾠήθην, ἀναγκαῖον καὶ ἅμα τὸ μὴ παντάπασιν ἀσύγγνωστον, καθ' ὅσον οἷόν τ' ἦν, συνελόντι σχεδὸν εἴρηταί μοι.

8. Ἤδη δέ μοι καθισταμένῳ πρὸς τὴν τῆς ἐπιχειρήσεως ταύτης ἀρχὴν πολλὴ ἀπορία λοιπὸν ὅθεν ἄρξομαι τῶν λόγων καὶ τίσιν ἐμαυτὸν δώσω τὴν πρώτην ἐπιβάλλων τοσούτων ἄρα καὶ τηλικούτων καὶ πάντων ἐφαμίλλων τε καὶ προσάγειν ἀναγκαίων ἐπίσης ἐμὲ κυκλούντων καὶ πάντοθεν ἰσχυρῶς ἕλκοντος ἑκάστου πρὸς ἑαυτό· καὶ οὐ ῥᾴδιον τί χρήσομαι καίτοι γε πεπεισμένος μάλιστα καὶ προειδὼς ὡς ἄρα μένει τοῦτο καὶ προείληπται πᾶσι καὶ οὐχ ἧττον ἐμοί· καὶ ἴσως, ὥς γ' ἔφην, καὶ πρόφασις τοῦτο πρὸς παραμυθίαν τε καὶ χρηστήν, ἵν' οὕτως εἴποιμι, (f.237[r])τὴν ἐλπίδα ὡς ἄρα ὅθεν ἂν ἄρξωμαι κοινὸν ἔπειτα τὸ τέλος πάντοθεν ἐπιχειροῦντι, τὸ μὴ τυχεῖν οὗ ποθῶ καὶ σπουδάζω καὶ τῆς ὑποθέσεως ἀπολειφθῆναι πάνυ τοι πόῤῥω· καὶ τί λοιπὸν ἂν εἴη πρᾶγμα πολυπραγμονεῖν ἀνόνητα, ὅπως ἂν δέοι καθίστασθαι πρὸς τὴν ἀρχήν; Ἀλλ' ὅμως, ὅπερ ἔφην, ἀπορῶ λοιπὸν ἐνταῦθα καὶ οὐκ ἔχω χρῆσθαι ῥᾷστα περὶ μὲν τῶν τοῦ πράγματος αὐτοῦ δικαίων οὐκέθ' ὅλως ἀλλ', ὡς ἂν ἀμέλει γ' ἐμαυτῷ προσήκειν τὴν ἀρχήν, οἶμαι πειρᾶσθαι τούτου μόνον φροντίζων, ὡς δ' οὖν ἔμοιγε δοκῶ, μὴ παντάπασιν ἔξω λόγου τῆς ὅλης ὑποθέσεως κατάρξασθαι πρὸς τὸν σκοπὸν τέως ἀνύτων ὅπως ἄρα.

9. Φέρε δὴ πρῶτον, ὥσπερ ἄγαλμά τι τῶν κατ' οὐρανὸν τὸ κάλλιστον, τὴν πόλιν ἀποσκοποῦντες θεωρήσωμεν[84] εἴ πῃ μάλιστα τῆς γῆς ἄλλῃ καιρὸν εἶχε βέλτιον ἱδρῦσθαι ἢ ὅπῃ νῦν γε εἶναι· καὶ καθάπερ ἐπὶ θεμελίων τῶν ἀρίστων τοῖς λόγοις αὐτὴν ἀνιστῶντες ἐν τῷ περιόπτῳ καὶ διηρμένῳ καὶ ὅλως ἀξιολογωτάτῳ τοῦ κοινοῦ θεάτρου τῆς ὅλης οἰκουμένης κατίδωμεν

[84] θεορήσομεν V

ἀπολεξάμενοι τὴν χώραν, ἐφ᾽ ἧς αὐτήν, ὡς εἰπεῖν, ἱστῶμεν καὶ τὴν κατ᾽ αὐτὴν καὶ γῆν καὶ θάλατταν καθόλου μὲν οὖν, ὅσῳ λείπονται καὶ χῶραι καὶ πόλεις, αἳ μόνης ἢ γῆς εἰσί, θαλάττης καθάπαξ ἀπῳκισμέναι, ἢ περικλύζονται μόνῃ θαλάττῃ καὶ περικλείονται καὶ τέτμηνται τῆς κατὰ γῆν συνεχείας ἁπάσης ἐπ᾽ ἐρημίας ὀρφανικαὶ καθάπερ ταῖς νήσοις. Ἡ φύσις ἔχοι τῶν κατ᾽ ἄμφω ταῦτα χρωμένων καὶ πόλεων καὶ χωρῶν καὶ κεκραμένων, ὡς εἰπεῖν, εὖ ἐξ ἀμφοῖν καὶ τῆς ὅλης οὕτω τοῦ παντὸς κοινωνίας καὶ συναφείας εἰς τελείαν ὄντως τὴν εὐδαιμονίαν ὡς μὴ μόνον εἶναι μέρους τοῦ κόσμου τμῆμα καὶ ὁ,τιοῦν ἀλλ᾽ ὅλου μέρος τοῦ κόσμου (f.237^{v})τῷ παντὶ σύμπνουν καὶ συμπεφυκός, ὡς ἔπος εἰπεῖν, καθάπερ ἐφ᾽ ἑνὸς ἀμέλει τοῦ σώματος. Ῥᾴδιον τοῦτο καὶ παντὶ ξυνιδεῖν καὶ βεβαιῶσαι μὴν καὶ τρανῶσαι τοὺς λογισμοὺς ἔτι μάλιστα χρώμενον ἐπ᾽ ἀμφότερα ἐν τῷ μέρει, ὡς οὐκ ἔξεστιν ἀνελλιπῶς ἔχειν πάντως καὶ ἀλύπως, οἶμαι, ταῖς καθ᾽ ἕτερον τοῖν δυοῖν ὁ,τιοῦν ἀφῃρημέναις κοινωνεῖν ἀμηγέπη οὔτ᾽ εὐετηρίαν εἶναι πραγμάτων καὶ τύχης οὕτω χρωμέναις[85] οὔτε πρὸς χάριν οὔτε πρὸς χρείαν μάλιστα. Οὐ γὰρ ἔχουσιν οὔτ᾽ εὖ ποιεῖν, ὅπῃ ἄρα καὶ βούλοιντο καὶ δύναιντ᾽ ἴσως, καὶ τῶν ὄντων ἀξίως δείκνυσθαι καὶ πλουτεῖν ὄντως καὶ φιλοτιμεῖσθαι καθ᾽ αἵρεσιν, οὔτ᾽ εὖ πάσχειν ἄλλων καὶ ἱκανῶς ἢ πρὸς χάριν ἢ πρὸς χρείαν, ὧν ἂν δέοι καὶ ὧν ἂν βούλοιντο καὶ δύναιντ᾽ ἂν ἴσως. Ἀλλ᾽ ἀτεχνῶς καθάπερ οἱ μιᾷ χειρὶ δυστυχοῦντες ζημιοῦνται τὴν ζωὴν ἀτελῆ καὶ τῆς χρήσεως καὶ τῆς φύσεως ἐλλείπουσαν πενόμενοι, πλουτοῦντες ἴσως, διὰ τὴν ἀχρηστίαν αὐτοῖς μόνοις καὶ πλουτοῦντες καὶ ζῶντες οὐκ ἄλλοις εἰς δόξαν ἡντιναοῦν εὐδαιμονοῦντες, ὥσπερ οἱ καθ᾽ ὕπνους αὐτοὶ πράττειν εὖ δοκοῦντες οὐκ ἄλλοις ἐπὶ τῶν πραγμάτων ὁρῶμενοι, καὶ πενόμενοι ταῖς ἀληθείαις αὐτίκα θνήσκοντες, οὐκ ἔχοντες ὅ,τι χρήσονται σφίσιν αὐτοῖς καὶ τῇ δυσχερεῖ τύχῃ καὶ

[85] χρωμένοις V

μόνοι νοσοῦντες σχεδὸν πάντ᾽ ἀνίατα καὶ οὐδὲν ἄλλως, ὡς ἔστιν ἐπ᾽ ἐνίων φύσις τἀῤῥώστημα[86] ξὺν νῷ διοικεῖσθαι καὶ ἰᾶσθαι φαρμάκοις ἔξωθεν, οἵστισιν ἄρα χρωμένοις (τοῖσδ᾽ οὐκ ἔστιν ἄλλως, ἔοικε, ζῆν ἢ πάντα διὰ πάντων ὑγιαίνουσι, ὃ παντὸς μᾶλλον ἀνθρώποις οὖσιν ἀδύνατον), οὐδ᾽ ἔστιν εὖ θέσθαι καὶ μεταθέσθαι τύχης βάρος καὶ νόσων ἐπιβουλήν τε καὶ κακουργίαν εἰωθυῖαν ἑκάστοτε κατὰ τῆς (f.238[r])φύσεως καὶ συμφορᾶς αὐτοματισμόν.

10. Ἀλλ᾽οὐχ οὕτω γε τῇ πόλει καθ᾽ ἡμᾶς ταύτῃ καὶ τῇ κατ᾽ αὐτὴν χώρᾳ ταῦτ᾽ ἔχει. Ἀλλ᾽ ὁρᾶν πάρεστιν ὅπως κατ᾽ ἄμφω καὶ γῆν καὶ θάλατταν ὡς βέλτιστα πασῶν ἔχει καὶ ὡς ἂν μόνης εἴη τὸ κάλλιστον ὅλης τῆς οἰκουμένης ἐξαίρετον καὶ ὡς ἂν κατ᾽ ἔφεσιν αὐτῇ καὶ νοός, ὡς εἰπεῖν, εὕρημα μόνου καὶ ἄμιλλαν ἄριστ᾽ εἶναι παντάπασι· καὶ ὄντως εὐχῆς ἔργον ἦν οὕτως ἄρα ξυλλαχεῖν καὶ τοῦτο μὲν ὄψει χρῆσθαι, τοῦτο δὲ καὶ τῶν παλαιῶν μνήμῃ ῥᾴδιον ἐνταῦθα. Μᾶλλον δὲ καὶ τούτοιν [ἑτέρῳ][87] ῥᾴδιον οὐδετέρῳ χρῆσθαι, οὔτ᾽ ὄψει καθάπαξ ἱκανῶς τυχεῖν τοσούτου πράγματος ἀλλ᾽ ἢ μόνον θαυμάζειν, οὔτε ταῖς παλαιαῖς πρότερον ἐκεῖθεν παμμήκεσι φήμαις καὶ δόξαις ἑαυτόν τινα δόντα καὶ προσχρησάμενον ἔπειτα καλῶς ἀπαλλάττειν. Ἀλλ᾽ ἔστι τὰ παρόνθ᾽, ὡς ἔφην, θαυμάζοντα καὶ καθάπαξ οὐδὲ τοῦτ᾽ ἀξίως οὔθ᾽ ὅσον δίκαιον τοῦ πράγματος ὀφθαλμοῖς ἁπτόμενον ἔτι προσθήκην ἔχειν τὴν μεγίστην ἐπὶ τῷ θαυμάζειν εἰς τοὺς παλαιοὺς λόγους καὶ τὰς περὶ αὐτῆς ἱστορίας ἀνατρέχοντα καὶ τὴν ἀπαράμιλλον ἐκεῖθεν πομπὴν καὶ τὸ κλέος ἀνέφικτον εἰς ἡμᾶς ἧκον συνεχὲς οὕτω κατὰ παντὸς τοῦ χρόνου. Πλάτων μὲν οὖν οὐ χαλεπόν φησιν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν αὐτοῖς παροῦσιν αἴροντα λόγοις τὰ κατ᾽ αὐτούς· τῷ ὄντι γὰρ καὶ ῥᾴδιον εἶναι καὶ οὐχ ἥδιστον μόνον, μᾶλλον δ᾽, ὡς

---

[86] τἀρώστημα V
[87] ἑτέρῳ seclusi

ἀληθῶς, ὅτι τοῦτο καὶ ῥᾴδιον αὐτόν τινα περὶ ἑαυτοῦ τὰ βέλτιστα πείθειν· καὶ τὸ πρὸς χάριν πάνυ τοι πιθανὸν καὶ κράτιστον ἐν τοῖς ἀκούουσιν.

11. Ἀλλ' ἡμῖν γε, ὦ ἄνδρες, οἱ τῆς βασιλικῆς ταύτης καὶ μεγίστης ἔνοικοι πόλεως, οὐκ οἶδ' ὡς εἴ τί ποτ' ἄλλο, δυσχερέστατον περὶ τῶν ἡμετέρων τούτων καὶ τῆς πόλεως (f.238^{v})πρὸς ἀλλήλους ἐκδιηγεῖσθαι. Ἀμείνους μέν τ' ἂν εἴημεν, ὡς ἔοικεν, ἀλλοτρίοις μᾶλλον περὶ τούτων καὶ μήπω πεπειραμένοις ὅλως ἢ πρὸς ἡμᾶς αὐτοὺς λόγους ποιούμενοι καὶ Βαβυλωνίοις ἢ Αἰγυπτίοις ἢ Κελτοῖς ἢ Ἄφροις ἢ Βορυσθενίταις βιβλία πέμποντες περὶ τῶν τῆς πόλεως ἀγαθῶν καὶ ὥσπερ ἐν πίναξι τοῖς γράμμασι ὁπηοῦν καταδημιουργοῦντες καὶ προτιθέντες τὰ μεγέθη ταύτης καὶ κάλλη ἢ πάντα πράγματα καὶ τὰ πάντων κάλλιστα καὶ μέγιστα πείθειν ἀξιοῦντες περὶ αὐτῆς τοὺς ἐν αὐτῇ καὶ κατατεινόμενοι σφόδρα καὶ σπουδάζοντες αὐτίκα τῶν λόγων ἐπὶ τοῖς οὖσιν ὁρωμένων καὶ συνεξεταζομένων σφίσι καὶ λειπομένων ἂν πάντως παμπληθὲς εὖ μάλα· κἄν, εἴ τις ἄρα πολὺς ἐν τῷ λέγειν καὶ πάντ' ἄριστα καὶ βούλοιτό τε καὶ δύναιτο, ἐκείνως μὲν γάρ ἐστιν ἴσως ὁ,τιοῦν ἀξιόλογον δοκεῖν λέγειν, ἔστι[88] καὶ χαρίζεσθαι καὶ συνέλκειν τοὺς ἀκροωμένους εἰς θαῦμα διδάσκοντα καὶ βούλοιντ' ἂν εὖ μάλ' ἕπεσθαι καὶ ξυγχωρεῖν. Ἐνταῦθα δὲ τί τις ἂν ἐρεῖ καὶ τῶν πάνυ καὶ πάνθ' ὑπερβαλλόντων καὶ λόγους ἀμέλει καὶ πράγματα μὴ παντάπασι γέλωτα ὄφλων, μὴ πᾶσαν ἀποκναίων ἀκοὴν ἀηδίᾳ διὰ τὸ τῆς φύσεως τῶν πραγμάτων ἀδύνατον οἷον ξυμμετρεῖσθαι; Καὶ τοῦτο λοιπὸν εὐσύνοπτον νῦν εἶναι τοῖς ἑκάστοτ' ἀκούουσι σπουδάζων ὅλως ἀνόνητα καὶ τοὐναντίον ἅπαν ἢ βούλεται κομιδῇ κατασμικρύνων ἃ μάλιστ' ἐξαίρειν βούλεται, εἰ μή τις ἑκάστοτε λέγων προτίθησι τοῦθ', ὡς οὐδὲν ἄρα λέγει, καὶ συγγνώμης αἴτησιν ἐφ' ἑκάστοις, οἷς λέγει, προστίθησι, δεικνύων, ἐμοὶ δοκεῖν, ἐν τούτοις

αἰσθανόμενος ἑαυτοῦ καὶ τῶν πραγμάτων καὶ τῶν ἐπακροωμένων γε αὐτῶν· καὶ μὴν καὶ τοῦτ᾽ ἂν εἴη προὔργου πρὸς τὸν ὅλον, οἶμαι, σκοπὸν καὶ τῆς σπουδῆς (f.239[r])τὴν πρόθεσιν καὶ ἅμα ἥδιστον, οὐκ οἶδ᾽ ὡς εἴ τι ἄλλο, τῷ λέγοντι πάντοθεν ἀποτυγχάνοντι πάντων[89] καὶ κατελεγχομένῳ προδήλως οὕτως ἀδύνατα ἐπείγεσθαι καὶ προκηρύττοντι μᾶλλον ἐκ τούτων, ὡς ἔπος εἰπεῖν, καὶ προδεικνύντι τὴν ὑπερβολὴν τοῦ πράγματος καὶ τὸ μέγεθος ἀνέφικτον παραβάλλεσθαι[90] καὶ σφόδρα ἐρῶντι καὶ παντὶ τρόπῳ πειρωμένῳ· εἶναι γάρ, ὡς οὐκ ἔστι μὴ ἐρᾶν αὐτίκα προσβλέψαντα καὶ πεπειραμένον ὅλως καὶ κινεῖσθαι πρὸς λόγους θαύματος, καὶ εἶναί γε, ὡς οὐκ ἔστιν ὅλως ἐρεῖν καὶ οὐ τὰ μὲν οὕτω τὰ δ᾽ οὔ, οὐδὲ τὰ μὲν μᾶλλον, ἔνια δ᾽ ἴσως ἧττον· καὶ τόπον ὅμως εἶναί τινα περὶ ταῦτ᾽ ἐπιχειρεῖν οἷον εὐθὺς περὶ οὗ νῦν προὔκειτο.

12. Τί τις ἂν ἔχοι λέγειν πρὸς τὴν τοσαύτην τῆς θέσεως εὐκαιρίαν τῇ πόλει καὶ τὸ θαυμασίως αὐτῇ πεφυκός, ἅμα μὲν καθ᾽ ἑαυτὴν εὖ εἶναι καί, ὡς ἔνι μάλιστα, κάλλιστα καὶ τελεώτατα, καὶ ὡς οὐκ ἄλλη ποι τοῦτ᾽ ἐξῆν ἄν, ἅμα δὲ καὶ πρὸς τὸν ὅλον τῆς κατασκευῆς ἐξαρχῆς σκοπὸν ὡσαύτως· καὶ πρόκειται διὰ πλειόνων περὶ τούτων ἐρεῖν μικρὸν ὕστερον, νυνὶ δὲ τοσοῦτον, ὅτι ξυμβέβηκεν αὐτῇ κατὰ θεῖον, ὡς ἀληθῶς, τῆς τε ὅλης οἰκουμένης ὑπερφυῶς ἐν τῷ καλλίστῳ κεῖσθαι καὶ πᾶσαν χάριν διαρκεστάτῳ καὶ πᾶσαν χρῆσιν ἀνθρωπίνης εὐπραγίας καὶ ἅμα τῆς ὅλης τοῦ γένους ἀρχῆς ἐπικαιρότατα, καθάπερ αἱ ἀκροπόλεις ἔχουσι ταῖς κατ᾽ αὐτὰς πόλεσι πρός τε κόσμον καὶ κράτος, καί, καθόλου γε εἰπεῖν, τῆς ἁπάσης ταύτης ἡγεμονίας ἀναδήσασθαι τὸ βασίλειον καὶ τὴν προεδρίαν πάνυ τοι κατὰ λόγον ἐμπρέπουσαν καὶ κάλλισθ᾽

---

[88] ἔστι fortasse secludendum
[89] πάντων V[pc] : πάντως V[ac]
[90] παραβάλλεσθαι V[pc]: παραβαλέσθαι V[ac]

ὁμολογοῦσαν· καὶ τοῦτ', ἐμοὶ δοκεῖν, πολὺ[91] πάνυ λαμπρῶς τὸ εὔλογον ἔχειν· ταὐτὸν γὰρ εἶναι καὶ τῆς ὅλης[92] (f.239[v])οἰκουμένης τὸ βέλτιστον καὶ τῆς ὅλης ἀρχῆς εἶναι καθ' ἡμᾶς ταυτησί, ὅτι δὴ καὶ τῆς ὅλης ἦν οἰκουμένης αὕτη κατ' ἴσον σχεδὸν συμπεφυκυῖα, ὡς εἶναί γε λοιπόν, ὅπερ ἔφην, καὶ ξυμβαίνειν ἐξανάγκης ἀμφοῖν ἓν ὁ,τιοῦν, καὶ τῆς οἰκουμένης καὶ τῆς ἀρχῆς τὸ κάλλιστον καὶ τελεώτατον. Εἰ δὲ μὴ βούλεταί τις οὕτω, τιθείη τις ἂν ἄλλον τρόπον ταὐτὸ τοῦτο, παραπλήσιον, ὅτι τῆς μὲν ὅλης οἰκουμένης τὸ μεσαίτατον ἀναμφηρίστως καὶ κάλλιστον. Ὅπερ ἡ καθ' ἡμᾶς ἐξῄρηται τῶν ἄλλων ἀρχή, καὶ τῆς ἀρχῆς ἐν τῷ πεφυκότι βέλτιστα πρὸς τὴν ἀρχὴν ἡ πόλις· καὶ ὃν ἡ ἀρχὴ πρὸς τὰς ἄλλας λόγον ἀρχὰς ἔχει, τοῦτον ἡ πόλις, οὐ πρὸς τὰς ἄλλας ἁπανταχοῦ μόνον πόλεις ἀλλὰ καὶ τὰς αὐτῆς τῆς ἀρχῆς. Ἀλλὰ περὶ μὲν τῶν τῆς ἀρχῆς ὡς ἔχει καὶ πρὸς αὐτὴν ἡ πόλις καὶ τοὔμπαλιν ἡ ἀρχὴ πρὸς αὐτὴν μικρὸν ὕστερον ἴσως ἁρμόττει λέγειν καί, καθὼς ἂν ἐξείη, κατακαιρὸν ἐροῦμεν βραχὺ τοῦθ', ὅσον εἴρηται, προλαβόντες εἰς τὴν παροῦσαν χρῆσιν καὶ τὴν ἀπόδειξιν τῆς περὶ τὴν θέσιν, ἣ ξυνέλαχεν, εὐκαιρίας τῇ πόλει.

13. Ἀλλ', ὅπερ ἐλέγομεν, καὶ γῆς ἐπειλημμένης καὶ θαλάττης αὐτῆς πρὸς ἐντελῆ τὴν εὐεξίαν ἀμφοῖν μέν ἐστι ταῖν καλλίσταιν ἠπείροιν, Εὐρώπης τε, φημί, καὶ Ἀσίας, ἐν μεθορίῳ τῶν ἐξ ἀμφοῖν ἁπάντων μεταλαγχάνουσα καὶ κοινωνοῦσα τὸ γιγνόμενον, λυσιτελούντως μὲν αὐτῇ σφόδρα, λυσιτελούντως δ' αὐταῖς ἅτε μηδετέρας ἀφῃρημένη τῶν καλλίστων καὶ οἷς πλουτοῦσιν ἀγαθοῖς αὖται μάλιστα, πολλῷ βέλτιον ἢ κατὰ τὴν λοιπὴν τρίτην εἰς κόσμον καὶ κράτος καὶ πᾶσαν ἀρετὴν καὶ ἀστειότητα καὶ μηδετέραν ἔρημον αὖθις ἀπολείπουσα τοῦ τοσούτου πλεονεκτήματος τῆς κατ' αὐτὴν εὐπραγίας ἀλλ' ἑαυτῆς

---

[91] πολὺ V[mg]
[92] ras. post ὅλης

ἀμφοτέρας ποιουμένη (f.240[r])καὶ οἰκειουμένη καὶ ἀντιδιδοῦσα κόσμιον τὸν μέγιστον, ἐφ' οἷς ἔχουσιν αὐτήν[93], καὶ δεσμὸς γιγνομένη ταύταις ὁμολογεῖν τε καὶ πράττειν εὖ ἐντελέστατα καὶ μεταδιδόναι καὶ μεταλαγχάνειν ἀλλήλων δι' αὐτῆς ὡς κοινή τις γέφυρα καὶ δίοδος ἐν προθύροις ἑκατέρας καὶ κοινόν, ὡς εἰπεῖν, ταμεῖον τῆς κατ' αὐτὰς περιουσίας ἔχειν τε μάλιστ' ἐπ' ἀσφαλοῦς καὶ τῆς χρείας ἀνενδεῶς καὶ περιφανέστατα καὶ ἀλλήλων ἀντιλαμβάνειν καὶ ἀντιδιδόναι· οἷς μὲν ἀμφότεραι πλουτοῦσιν, αὕτη πλουτοῦσα καί, οἷς ἑκατέρα πλουτεῖ, δι' ἑαυτῆς τὸν πλοῦτον ἑκατέρας καὶ τῆς ἑτέρας ποιουμένη μετέχειν τε καὶ ὡς οἰκεῖον αὐτῆς ἔχειν ῥᾷστα καὶ πάνυ τοι καθ' αἵρεσιν ἐκ τοῦ προχείρου, ὥσθ', ὧν ἂν ἐξ ἀλλήλων δέοι, μετεῖναι καὶ κάλλιστ' ἐξεῖναι χρῆσθαι καὶ λανθάνειν ἀτεχνῶς ὡς ἄρ' ἐπ' οἰκείων ἀγαθῶν· καί, οἷς ἀμφότεραι κοσμοῦνται, ταῦθ' ὁμοῦ πάντα κόσμος τῇ πόλει μάλιστα· καί, οἷς οὕτως αὕτη περιφανῶς ἔχει καὶ παντελείως, αὗται κοσμοῦνται καὶ τὰ οἰκεῖα καὶ τἀλλότρια δι' αὐτῆς· καὶ τῆς μέν ἐστιν ἐξ ἀμφοῖν τὸ πλέον καὶ δι' ἀμφοῖν ὁμοῦ τὸ πᾶν, ταῖς δὲ δι' αὐτῆς πλέον ἑκάστοτε γίγνεται τῆς οἴκοι περιουσίας· καί, ὧν γὰρ ἀλλήλων ἔλαττον ἔχουσιν, ὡς εἰκὸς ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων, τούτων μετέχουσι δι' αὐτῆς ἀλλήλων ὡς ἂν λοιπὸν ἔχειν διαρκῶς. Δοκεῖ δ' ἐπιδήλως καὶ μάλισθ' οὕτω νομίζουσιν ἐκ τοῦ παντὸς αἰῶνος ἄνθρωποι ταύτας ἀναμφηρίστως εἰς εὐδαιμονίαν ἀνθρώποις οἰκεῖν καὶ πᾶσαν εὐγένειαν κατὰ τῆς λοιπῆς καὶ τρίτης Λιβύης αὐτῆς ἐξαρχῆς τὸν ἀεὶ χρόνον τὴν νίκην καὶ τὸ πρωτεῖον φέρεσθαι καὶ τὴν αὐτῶν νίκην ξυμβαίνει τῆς πόλεως ἐξανάγκης εἶναι· καί, οἷς ἀλλήλας νικῶσι, ἡ πόλις ἀμφοτέρας νικᾷ· καί, οἷς ἀλλήλων (f.240[v])αὖθις ἡττῶνται, κἀνταῦθα πάλιν ἡ πόλις διὰ τὴν ἑτέραν νικᾷ καὶ τῆς ἑτέρας περιγίνεται καὶ πανταχόθεν πειρωμένῳ καὶ ξυνορῶντι καὶ νικώντων καὶ ἡττωμένων αὕτη

[93] ἑαυτὴν V

λοιπὸν ἐν μέσοις ὡσπερεὶ τρόπαιον νίκης ἁπάσης καὶ περιφανείας καὶ λαμπρότητος καὶ δόξης ἵσταται περίοπτον ἀπὸ γῆς ἁπάσης.

14. Ἐπειδ' ἡ πρόθεσις ἦν, ὡς ἄρ' ἔφην, ὅρον ἀμφοῖν εἶναι ταῖν ἠπείροιν τὴν πόλιν, αἱ δὲ μέσῃ θαλάττῃ διείργεσθον, τίς ἡ μηχανὴ καὶ τί τὸ κάλλιστον ἀμέλει χρῆμα καὶ ξυγκύρημα νῦν ἐνταῦθα; Φεύγει μὲν καὶ οὕτως ἡ πόλις τὴν θάλατταν καὶ τὰς αὐτῆς παντελεῖς εἱρκτάς· οὐδὲ γὰρ ἦν πρὸς αὐτῆς αὐτῆς εἶναι μόνης, καὶ τοῦτο δέδεικται πρότερον ἤδη. Ἥδ' ὥσπερ ἐκ παντὸς ζητοῦσα καὶ περαίνουσα πρὸς τὸν σκοπὸν ἡ πόλις εὑρίσκει μὲν αὐτὸ τῆς θαλάττης ἁπάσης τὸ στενώτατον καὶ διατέμνον μονονοὺ καθάπερ ἐν ζωστῆρί τινι γραμμικῷ τὰς ἠπείρους γε ταύτας παραπλησίως κατὰ τοὺς τῶν ζωγράφων πίνακας, ἐνταῦθα δὲ τὸ τῆς οἰκουμένης ἁπάσης ἀπολαβοῦσα κάλλιστόν τε καὶ χαριέστατον καὶ διαρκέστατον εἰς ἐντελῆ τὴν εὐκαιρίαν καὶ σφόδρα πεφυκὸς εἰς ἅπασαν ῥᾳστώνην ζωῆς ἀνθρωπίνης καὶ πολιτείας. Ἀμφότερα μὲν κατέχει τὰ τῆς γῆς, ὡς ἔφην, προδήλως αὖτη μέρη καὶ παροικεῖν ἔχει μηδὲν μᾶλλον Εὐρώπην ἢ τὴν Ἀσίαν αὐτήν· ἐξαιρεῖται δ' ὅμως κἀνταῦθα τὸ βέλτιον ὁπηοῦν, καθάπερ ἂν εἰ ἐν τῷ συνεχεῖ καὶ συνημμένῳ τῆς γῆς τὸν ἐπιτήδειον μᾶλλον ἦν ἑλέσθαι τόπον ἐκ τοῦδέ τινος καὶ τοσοῦδε καθίστασθαι λοιπὸν ἐπὶ τοῦδε τὴν πόλιν· καὶ ξυμβαίνει δὴ λοιπὸν ἐν τούτοις βραχὺ μὲν εἶναι κομιδῇ κατὰ τὸν τόπον καὶ τὴν τῶν ἠπείρων διάστασιν τοὐνμέσῳ καὶ δοκεῖν μηδὲν (f.241^{r})εἶναι καὶ λανθάνειν ὡσπερεὶ κλέπτον τοὺς ὁρῶντας· καὶ οὐδὲν μᾶλλον, ὡς ἔφην, τῇδε ἢ τῇδε σχεδὸν τὴν πόλιν συνάπτειν δόξαις ἂν κατασκοπούμενος καὶ μετρῶν καὶ τὸ διάφορον οὐκ ἐπίδηλον ἀτεχνῶς οὕτωσί. Ξυλλαγχάνει δὲ τοσοῦτον διαφέρειν κἀνταῦθα τῇ πόλει πρὸς εὐδαιμονίαν ἅπασαν, ὅπῃ γε μὴν ἵσταται, καὶ τοσοῦτο προέχειν ἐκτόπως τῆς ἀντιπέραν γῆς ἐξ ὑπογυίου καὶ τῶν ἐν αὐτῇ πόλεων, ὥσπερ ἂν εἰ πάνυ τοι πλεῖστον ἀπ' ἀλλήλων ᾤκουν καὐτοῖς ποῤῥωτάτω διΐσταντο τόποις

καὶ οὐδὲν ὁ,τιοῦν κοινὸν ἦν ἀλλήλαις ἀλλ᾽ ἅπλωτα πελάγη καὶ γῆς, ὡς εἰπεῖν, καὶ θαλάττης μέσα καὶ ὄρη δυσάντητα καὶ τῶν ἐπικεχυμένων ἀέρων ἑτερότητες.

15. Δηλοῖ δὲ τά τε ὁρώμενα, καὶ ῥᾴδιον πειρᾶσθαι, καὶ παλαιοὶ λόγοι καὶ σοφῶν ἐκ μακροῦ κρίσεις καὶ δόγματα· μυρία μέν γε ἡ περὶ τούτων μετ᾽ εὐφημίας ἁπάσης καὶ θαύματος μνήμη τῶν παλαιῶν καὶ ξυγγραφή. Ὅσοι τε γῆς ἀναζωγραφοῦσιν ἱστορίαν καὶ περιήγησιν οἰκουμένης, ὅσοι τε πράξεις ἑλληνικὰς ἐπέρχονται καὶ κατὰ πᾶσαν ἀνάγκην συμπίπτουσι τῇδε μεμνῆσθαί τε καὶ προσέχειν τὸν νοῦν καὶ τρίβειν οὐκ ἀηδῶς καὶ ὅσοι ῥωμαϊκάς τε καὶ βαρβαρικὰς ἔστιν ἃς καὶ τῇ συνεχείᾳ τοῦ δρόμου καὶ τῶν πραγμάτων ἐνταῦθα γίγνονται κᾆτα χρεία σφίσιν ἀπαραίτητος μένειν ἀμηγέπη καὶ κατασημαίνεσθαι λοιπὸν ὅπως ἄρα καὶ τάχιστ᾽ ἐπιοῦσι καὶ πλεῖστα πονοῦσιν ἀλλὰ καὶ ὅσοι περὶ ἄλλων προτεθειμένοι καὶ σπουδάζοντες καὶ τυχὸν ἐπελθὸν ἔπειθ᾽ οὕτω παρόδῳ τῆς προθέσεως καὶ τῆς σπουδῆς ξυνέλαχον ἐνταῦθα καὶ οὐ παρέδραμον οὑτωσί, πῶς ἂν ἐρεῖ τις ὡς ἂν τῶν καλῶν ἀναίσθητοι καὶ ἀνέραστοι; Ἀλλ᾽ ἑάλωσαν αὐτίκα κατωλιγω(f.241^{v})ρηκότες τοῦ πρώτου σκοποῦ καὶ τοῦ δρόμου τῶν λόγων, ὡς κάλλιστον ὂν τῇδε προσχεῖν[94] καὶ κατοπτεῦσαι καὶ διεξιέναι λαμπρῶς καὶ μεθ᾽ ὅσης τῆς ῥᾳστώνης τὸ μέγιστον θέαμα καὶ τερπνότατον τοῦ βίου καὶ τῶν ἐν γῇ πάντων· καὶ συχνοῦ χρόνου καὶ πόνου πολλοῦ καὶ σχολῆς ἔργον ἂν εἴη πάντως εἰ καὶ δοίημεν ὅλως οἷόν τ᾽ εἶναι τὰ πάντων ἅπαντ᾽ ἐπιλεξάμενον ἔπειτα ἐρεῖν καὶ καταλογίσασθαι, καὶ παντάπασι τοῦ καιροῦ γίγνοιτ᾽ ἂν ἔξω καὶ τοῦ μέτρου πρὸς τὴν χρείαν ἀμέλει ταυτηνί.

---

[94] προσσχεῖν V

16. Ἀλλά μοι δοκῶ μόνῳ τῷ καλλίστῳ συγγραφέων Ἡροδότῳ χρησάμενος καὶ τῆς τῶν αὐτοῦ Μουσῶν ἐξηγήσεως ἀποτεμόμενος ἐκεῖνο κἀνταῦθα προθεὶς ὃ περὶ τῆς πόλεως εἴρηται τἀνδρὶ καὶ τῆς κατ᾽ αὐτὴν εὐκαιρίας, μᾶλλον δ᾽ ὃ κάλλιστα πάλαι καὶ ἀστειότατα παρ᾽ ἄλλων εἰρημένον μνήμης ἀξιοῖ μεγαλοψυχίᾳ καὶ θάῤῥει τῶν ὁρωμένων αὐτῶν καὶ διδασκαλίᾳ τῆς ὄψεως, ἧς οὐδὲν πιστότερον, ὡς καὶ αὐτῷ γε μὴν Ἡροδότῳ τουτὶ ξυνδοκεῖ, τἆλλα[95] πάντα τῶν ἄλλων μεθεὶς ἁπάντων καθάπαξ ὡς περίεργον ὂν τὰ ἑκάστων ἕκαστα προφέρειν ἐν μέρει καὶ διατιθέναι καθάπερ μαρτυρίας πλείστης, ὡς ἐν διαδικασίᾳ τινὶ πολιτικῇ καὶ κριταῖς δυσκόλοις λοιπὸν αὐτῇ δοῦναι τὸν λόγον τῇ τοῦ πράγματος ἐποπτείᾳ καὶ καθιστορεῖν, ὡς ἂν οἷόν τ᾽ εἴη· τοῦτο δὴ πρότερον ἐφάπαξ ἤδη τὴν ἀρχὴν κείμενον καὶ προειρημένον τε καὶ προειλημμένον ὡς οὐδὲν ἄρα πρᾶγμα, οὐδ᾽ ἡτισοῦν αἰσχύνη καὶ ἀωρία παντάπασι τῶν εἰκότων ἀποτυγχάνειν διὰ τὸ παντάπασι τοῦ πράγματος καὶ ὁτῳοῦν τῶν πειρωμένων ἀξύμμετρον τυχεῖν. Ἑπτὰ μὲν οὖν ἐπὶ δέκα ἑξῆς ἔτη τυφλοὺς εἶναι φησὶν ἀνθρώπους ἐκεῖνος Ἡρόδοτος παλαιόν τινα τοῦτον ἄνωθεν εἰς αὐτὸν ἥκοντα (f.242ʳ)λόγον[96] ἐκδεξάμενος, ἀξιώσας ἱστορίας καὶ λόγου ὡς καλῶς εἰρημένον καὶ πιστὸν ἄρα νομίζων εὖ μάλα τοῖς πράγμασιν αὐτοῖς καὶ οἷς ἔξεστιν ὁρᾶν· καὶ εἶναι γὰρ τοσαῦτα ἔτη, καθ᾽ ἃ πρότερον ἄνδρες ᾤκησαν Χαλκηδόνα τὴν πόλιν πρὸ Βυζαντίου, μὴ ξυνιέντες, ἔοικεν, ὅσῳ βέλτιον οἰκεῖν αὐτὸ ῥᾷστα Βυζάντιον ἐκ τοῦ προχείρου ὡς παντάπασιν ἀλόγιστον καὶ οὐκ ἀξίαν οὖσαν ταύτην τὴν πλάνην ἀνδρῶν ὁρώντων, ἐκείνῃ μᾶλλον ἢ τῇδε οἰκεῖν ἑλέσθαι μάλιστ᾽ ἐξὸν ἐκ παραλλήλου χρωμένους ἔγγιστα ἐπ᾽ ἐρημίας τοσούτῳ κτήματι· καί, ὡς ἀληθῶς, ἐθαύμασα ἔγωγε τῶν ἀνδρῶν

[95] τε in ras. post τἆλλα V
[96] ras. post λόγον V

ἐκείνων τὸ καθάπαξ ἀπρονόητον οὕτω καὶ ἀσύνετον καὶ ἀμαθὲς τοῦ βελτίστου σφίσι καὶ ἀγροικικὸν τοσοῦτο καὶ σκαιὸν καὶ ἀβέλτερον καὶ τὴν εὐκολίαν αὐτὴν τῆς γνώμης οὕτως ἀσυλλόγιστον καὶ ἀνεπίστροφον τοῦ καλοῦ καὶ τὴν ὀλιγωρίαν ὅπως ἀτημελήτως ἑαυτῶν ἔσχον, εὖ ἔχειν καὶ πάνυ τοι πλεῖστον εὐδαιμονεῖν καὶ πλουτεῖν ῥᾴδιον ὄν. Οἱ δὲ πενίαν εἵλοντο χειροποίητον καὶ τύχῃ δυσχερεῖ παλαίειν τὸν ἀεὶ χρόνον καί, ἀντὶ τοῦ σφόδρα ἐῤῥῶσθαι, νοσεῖν καὶ πράττειν ἀηδέστατα.

17. Ἀνέχει μὲν γὰρ ὁ καθ' ἡμᾶς τῆς πόλεως οὐτοσὶ χῶρος ἐλεύθερος καθάπαξ, ἐξηρμένος μετεωρότερον, καὶ πρόεισιν ἐπιπολὺ τῆς θαλάττης φαιδρότατος κύκλῳ καὶ πάντων ἀπρόσκοπος εἰς μετάληψιν τῆς ἀέρος καὶ οὐρανοῦ χάριτος ἁπάσης καὶ συντελείας πρὸς ἐῤῥαστωνευμένην βιοτὴν καὶ ταῖς ἡλιακαῖς ἀπόνως προσαντᾷ καὶ συνυφαίνεται κοινωνίαις, τοῦτο μὲν ἐπιπλεῖστον τῆς θαλάττης προεξάγων τε καὶ πεζεύων ἥδιστα καθορᾶν, τοῦτο δ' ἐπιπλεῖστον καὶ τοῦ ἀέρος ἀνατρέχων εἰς ὕψος μεγαλόφρων τε καὶ ἀδέσποτος καὶ πάσης τυραννίδος (f.242^{v})καὶ δεσμῶν ἄσυλος, ἀσπαζόμενος ῥᾷστα καὶ ὑποδεχόμενος κάλλιστα τὰς ἐκεῖθεν ὠφελείας καὶ λαμπρότητας. Καὶ οὐδὲν ἄρ' ἐνταῦθα προσίσταται, οὐ θέσεως κατὰ φύσιν ἱξάνουσα κοιλότης ἠτισοῦν καὶ βυθὸς τῆς ἐπιπέδου συνεχείας ὑφεδρεύων καὶ ἀποκρυπτόμενος καὶ στενούμενος καὶ δραπετεύων τὸ τοῦ φωτὸς καὶ τῆς καταλάμψεως ἀνύσιμον, οὐκ ἀντίθεσις καὶ εἱρκτή τις ὀρῶν οὔτ' ἐπιτειχιζόντων κατὰ πρόσωπον[97] ἢ ἐγγὺς ἢ καὶ ὅ,τι μάλιστα πόῤῥω οὔτε κατὰ πᾶν ἄλλο μέρος ἐγκλειόντων[98] ὁπηοῦν κύκλῳ τὴν ἀφ' ἡλίου καὶ οὐρανοῦ καὶ ἀέρος εὐετηρίαν. Ἀλλὰ πολλὴ σκοπουμένῳ πάντοθεν ἡ τῆς ἀδείας εὐγένεια καὶ ἀστειότης, ὥσπερ ἐπ' ἐξουσίας

[97] προσώπου V
[98] ἐγκλειόντων V^{mg}

ἀπηλλαγμένης τυραννικῆς βίας καὶ δυναστείας, καὶ βασιλικῷ μάλιστα κάλλει πρέπουσα· καὶ ἁπάντων, ὧν ἂν δέοι καὶ βούλοιτ' ἄν, ἀτεχνῶς ἀζήμιος μετουσία καὶ παντάπασιν ἀκώλυτος καὶ ἀλώβητος καὶ εἰλικρινὴς καὶ πάντων ἀνόθευτος τῶν χρησίμων, τά τε ἄλλα καὶ τὰ ἐκ θαλάττης, ἧς τὰ κάλλιστα καὶ ἀξιολογώτατα μέρη ἐφ' ἑκάτερα, τοῦτο μὲν ἄνω τὸ τοῦ Εὐξείνου πέλαγος, τοῦτο δ' ἐπὶ θάτερα κάτω Προποντίδα καὶ τὸν Ἑλλήσποντον καὶ αὐτὸν Αἰγαῖον, διελομένη.

18. Τὰ μέσα λοιπόν, εἰ δή τις ἄλλη, μάλισθ' αὕτη κατέχει γῆς καὶ θαλάττης καὶ τὰ ἐξ ἁπάντων ἔχει· καὶ πᾶσαις πνοαῖς πορίζεται, πᾶσιν ἀνέμοις, ὡς ἀληθῶς, εὐπλοοῦσα, μᾶλλον δ', εὐδαιμονοῦσα καὶ χρωμένη, κατὰ τὴν παροιμίαν, μᾶλλον δ', ὡς ἔοικεν, αὐτὴ καὶ τῇ παροιμίᾳ τὰς ἀρχὰς δοῦσα τῷ κατ' αὐτὴν θαύματι τούτῳ δὴ καὶ τῷ τοῦ πράγματος ἀπαραμίλλῳ καὶ καλλίστῳ καὶ ὑπερφυεῖ παροιμίας ὑπερβολὴν εἰς τοὺς καθόλου λόγους χορηγήσασα· καὶ ὁρῶμεν ἑκάστοτε καὶ χρώμεθα, πολῖται τῆσδ', ἡμεῖς, εὐδαίμονες, καθ' αἵρεσιν, (f.243^{r})ὡς ἂν ἐν πομπῇ θεατρικῇ, ῥᾳστώνης ἔργα πράττοντες, τὰ μὲν ἀποφερόμενοι πάντα πάντων, τὰ δὲ πέμποντες ἅπασι πάντα καὶ ἀμφότερα τἀντίθετα τῆς αὐτῆς ἡμέρας καὶ πάσης ἡμέρας ἢ καὶ μεθ' ἡμέραν, νυκτὸς καὶ οὐκ ἔστιν ὅτε μὴ οὐδ' οἵστισιν οὔ. Ἀλλ' ἔστι κατὰ ταὐτὸν καὶ τὸν ἀεὶ καιρὸν τοῦτο, ἀνάγεσθαί τε τῆς χώρας καθ' ὁπότερα βούλει κἀπὶ θάτερα τῶν αὐτῆς, ὧν ἂν δέοι, καὶ ἄττα δὴ πάντως ὑποδέχεσθαι· καὶ πᾶς ἄνεμος αὐτῇ πρὸς αὐτῆς καὶ πᾶς ἄνεμος τῇ πόλει φορώτατος καὶ ἐργατικώτατος καὶ ὄντως, καθάπερ ἄλλαις τισὶν ἄρα τῶν εὐδαιμόνων, ὁστισοῦν ἐκλόγιμος τῶν ἄλλων ἐνεργὸς καὶ πλουτοποιὸς καὶ βίου δοτὴρ καὶ ζωῆς εὐμαρείας καὶ χρήσεως ἀνυσίμου· καὶ οὐδεὶς ὅστις οὔ, οὐδ' ἔστιν ἥτινι τῶν ἁπασῶν μᾶλλον ἢ τῇ πόλει, οὐδ' ὅστις μᾶλλον, οὐδ' ὅστις ἧττον, ἀλλ' ὁμοῦ πάντες ταὐτὸν δύνανται παρ'

ἡμῖν καὶ πάντῃ χρωμένοις ἀγαθόν· καὶ μόνοις ἡμῖν ἐστιν ἐκ τῶν ἐναντίων εὐδαιμονεῖν καὶ οὐ τὰ ᾽ναντία τῶν ἐναντίων φέρεσθαι, εὖ τε πράττειν καὶ ἐῤῥῶσθαί τε καὶ μὴ[99] νοσεῖν, ἀλλ᾽ ἀπ᾽ ἀμφοτέρων ὅμως καὶ τῶν μαχιμωτάτων ἀλλήλοις αὐτοὺς βέλτιστ᾽ ἔχειν καὶ [ὡς ἂν][100] ῥᾳστώνῃ χρῆσθαι καὶ ὡς ἂν εὖξαιντ᾽ ἄλλοι· καὶ τοὺς κοινούς, ὡς δοκεῖ, τῆς φύσεως λόγους, ὡς εἰπεῖν, ἡμῖν ἀντεστράφθαι μόνοις καὶ ὅλως ζῆν ἐν θαύματι πάσης ἐργώδους τύχης ἀπηλλαγμένους καὶ ἀπορίας, οἷα δὴ τἀνθρώπεια πράγματα· καὶ πάντες ἐπ᾽ ἀμφότερα πειρῶνται καὶ κατὰ φύσιν οὕτως ἀναγκαῖον ὂν ξυλλογιζόμενοι φέρουσι τὴν λαχοῦσαν μοῖραν τοῦ τε καλοῦ καὶ μὴ τοιούτου ἡμῖν παραχωροῦντες μόνοις ἄκρατον εὐπραγίαν καὶ στάσιμον ἀεὶ καὶ ἄτροπον ἐν παντὶ τῷ προστυχόντι καὶ μακαρίζοντες ἐπιεικῶς ὡς ἔξεστι βιοῦν διὰ πάντων ἀπραγμόνως καί, ὡς ἀληθῶς, καθάπερ ἐν εὐπλοίᾳ πάσῃ τῆς ζωῆς· καὶ οὐ γεωργοῦμεν ἀνέμους, (f.243^{v})ὡς ἡ παροιμία τοῖς εἰς κενὸν φησὶ κάμνουσιν, ἀλλὰ πάντες ἡμῖν ἄνεμοι γεωργοῦσιν.

19. Ὥστε, εἰ τοῦτ᾽ ἐστίν, οἶμαι, τινὶ τἀγαθόν, τὸ μέσῳ εἶναι, καὶ τοῦτο γὰρ δίκαιον ὄντως λογίζεσθαι, τὸ καλλίστῳ εἶναι πάντοθεν καὶ πάσης ἀπὸ πάντων ἀηδίας κύκλῳ καὶ λύπης ἐκτὸς καὶ πάσης ἕξεως ὑπερβαλλούσης τῶν περὶ αὐτὸ καὶ κράτους καὶ δυνάμεως ἀθώῳ καθάπαξ καὶ πάσης ἀζημίῳ τῆς χρείας ἐπίσης. Ἐνταῦθα δὴ τοῦτο μόνον καὶ οὐκ ἄλλῃ νικᾷ καθάπερ ἐπὶ κυκλικοῦ μέσου τινὸς ὄντος ξυμβαίνει πάσας τὰς εἰς αὐτὸ περαινούσας ἀπὸ τοῦ κύκλου καὶ τὰς ἀπ᾽ αὐτοῦ πάντῃ πρὸς τὸν κύκλον ἀγούσας πάσας εὐθείας τὰς αὐτὰς εἶναι καὶ τὸν λόγον ἴσον ἔχειν πάντοθεν ὁρῶντι καὶ παραπλήσιον καὶ οὐ τῇδε μᾶλλον ἢ τῇδε οὐδ᾽ ἐκπίπτειν ὁπῃοῦν τοῦ κάλλους καὶ τῆς ἁρμονίας καὶ

---

[99] verbum μὴ ante ἐῤῥῶσθαι scriptum huc transposui
[100] ὡς ἂν seclusi

τῆς ἰσότητος. Οὐδὲ γὰρ κἀνταῦθα δὴ τῇ πόλει τὰ μὲν ἄνωθέν ἐστιν ἥκειν αὐτῇ ῥᾷστα, τὰ δ' ἐξ αὐτῆς ἥκειν οὐκ ἔστιν εἰς ἀντίθετον κάτω ῥᾷστα, ἀλλ' ὁμοῦ γ' ἐπ' ἀμφότερα μηδὲν μᾶλλον κατὰ ταὐτόν[101], ὡς εἴρηται, μᾶλλον δ', ὡς ὁρᾶται, παραπλησίως ἔχει καὶ κατ' ἀμφότερά γε μὴν ἔτι τὰ λοιπὰ μέρη τῆς θέσεως κατὰ ταὐτὸν αὖθις παραπλησίως, καὶ οὐ μᾶλλον τἀπὸ γῆς ἢ τἀπὸ θαλάττης ἅπαντα τὸν αὐτὸν πάντοθεν τρόπον εἰς αὐτὴν περαίνει καὶ παρ' αὐτῆς, ὡς ἂν ἀπὸ μέσου τινὸς ἐπιδήλου καὶ πάντῃ δικαίου καὶ λόγον ἔχοντος, κατ' εὐθυωρίαν ἔξεισι· ταῖς μὲν γὰρ ἄλλαις, ὅσαις τι καὶ[102] τοιοῦτον φιλοτιμεῖσθαι περὶ θέσεως εὐκαιρίας, πρόσεστι· ταῖς μὲν ἴσως οὕτως ἄρ' ἔχειν ἐν μεσογαίῳ ξυμβαίνει, θαλάττης ἀκοινωνήτοις, ταῖς δ' ἐπὶ θαλάττης μόνης, καὶ ταύτῃ δῆθ' ὡς τῶν μὲν ἐξεῖναι μετεῖναι, τῶν δὲ μή. Ἀλλ' ὁρῶμεν ἐπὶ τῶν πλείστων καὶ σχεδὸν ἁπασῶν ὡς τὰ μὲν εἰσὶν αὐταῖς ἀγωγὰ τῶν πνευμάτων, τὰ δ' (f.244[r])ἀποκέκλεισται παντάπασιν ὡς ἄρα μαχιμώτατα καὶ οὐ πρὸς αὐτῶν· ἀλλ' οὕτως ἀμέλει πρὸς αὐτὰς ἔχει, ὡς μᾶλλον τἀναντιώτατα πράττειν καὶ ὡσπερεὶ πολιορκεῖν καὶ πᾶσαν εὐπραγίαν αὐταῖς ἀποτειχίζειν· καὶ μὴν αὖθις, ὅσα καὶ φέρει καὶ καταπνέει τισὶν ἀγαθῶν τινα μετουσίαν, τὸ λοιπὸν ἐξῆς ἀηδία καὶ παντάπασιν οὐ ξυγχωρεῖ τῶν οἴκοι καὶ ὧν περίεστιν ἐκφέρειν ὅπῃ ἄρα καὶ πομπεύειν τὸν πλοῦτον καὶ δείκνυσθαι τῶν ὄντων ἀξίως, τὰ μὲν ἀποφερομένους, τὰ δὲ πέμποντας μετὰ τῆς αὐτῆς δυνάμεως καὶ κατὰ ταὐτὸν ἐπὶ τῆς αὐτῆς ῥᾳστώνης, ὡς ἄρα τοῦθ' ὁ λόγος ἐπὶ τοῦ μέσου δικαίως καὶ τῆς ἡμετέρας ταυτησὶ πάντα θαυμαστῆς καὶ μεγίστης δείκνυσι πόλεως μόνης ὡς καὶ μόνης ἀληθῶς ἐχούσης τὰ μέσα τῆς ὅλης καὶ γῆς καὶ θαλάττης ἐκ τῶν πραγμάτων καὶ τῆς ἐργασίας τὸν εἰρημένον τρόπον.

---

[101] κατὰ ταὐτὸν V[pc] : καταυτὸν V[ac]
[102] καὶ iter. V

20. Καίτοι τί λέγω; Μάλιστα μὲν ἐκ τούτων τῆς πόλεως ἂν οὕτω ταύτης τιθείη τις τὰ μέσα. Ἢ τί γάρ; Οὐ τοῦτο μᾶλλον τῇ πόλει νικᾷ καὶ τῇ κατ᾽ αὐτὴν ἀστειότητι καὶ εὐκληρίᾳ καὶ ἀρετῇ τῆς Ἀττικῆς αὐχμηρίας καὶ ἰσχνότητος ἢ τῶν ἐν Δελφοῖς πετρῶν; Οὐ μὴν ἀλλὰ καὶ καθορᾶν ἔξεστιν ὡς ἅπαντα περὶ αὐτὴν ὅσα τῆς οἰκουμένης κάλλιστα καὶ μυρίας ταῦτα τῆς φήμης καὶ λόγων ἄξια καὶ πάντων ὀνομαστότερα· καὶ τὰ μὲν γὰρ αὐτῆς ἐστιν ἐξ αὐτῆς αὐτίκα καθάπερ ἀπό τινος ἀμέλει κοινοῦ σημείου πρὸς ἕω φέρειν, τὰ δὲ πρὸς δυσμάς· καὶ τὰ μὲν ἔνθεν ἀπ᾽ αὐτῆς αὐτίκα ἑξῆς, ὡς ἄρα ἀπό τινος κορυφῆς, χωρεῖ τῶν Ἑλλήνων τὰ πράγματα, τὰ δὲ ἔνθεν τὰ τῶν ἄλλων γενῶν ἐπώνυμα· καὶ ὅσα πρὸς τὴν Ἑλλάδα διαστέλλεται τῶν καθ᾽ ἕω παραχρῆμα τῆς πόλεως ἀντίπρωρα ταύτης ἐξ ὑπογυίου καὶ οὐ μακρὰν ἀλλ᾽ ὅσον ἐκ τῶν τῇδε πορθμῶν (f.244^{v})στενοτάτων εἴργεσθαι, μὴ συνάπτειν μὲν ἀλλ᾽, ὡς εἰπεῖν, αὐτῆς ὅμως ἔγγιστα καὶ τάχιστα ἠρτῆσθαι· καὶ τὰ μὲν ἐκ τῶν κατ᾽ αὐτὴν θαλαττίων διαλέπτων αὐλῶν καὶ ὡσπερεὶ κοινῶν συνδέσμων τῆς ἁπάσης ἁπανταχοῦ θαλάττης καταῤῥέοντα μέχρι πρὸς Αἴγυπτον καὶ Λιβύην αὐτῇ πρόσοικον, καὶ μὴν πρὸς ἑκάτερα τεμνόμενα λοιπὸν ἔνθεν εἰς ἑῶά τε πέρατα Κιλίκων τε κόλπους καὶ Φοινίκων λιμένας καὶ αὖθις Γαδείρων ἐς αὐτοὺς ὅρους ἐπὶ θάτερα καὶ τὰς ὠκεανοῦ διεξόδους τε καὶ πηγάς, καὶ τά γε μὴν ἔτ᾽ αὖθις ἄνωθεν ἐκ θατέρου προσορᾶν εἰς αὐτὴν ἥκοντα τῶν ἐκ Μαιώτιδος ἀρχῶν καὶ πελαγῶν Εὐξείνου στενούμενά τε καὶ περαίνοντα προδήλως αὐτῇ τῆς τοσαύτης πολυῤῥοίας ἁπλέτου τε καὶ παμμήκους εἰρηνικὰ προσιούσης καὶ κλειομένης ἔπειτ᾽ ἐνθάδε καθάπερ ἐν σωλῆνι τῷ Βοσπόρῳ καὶ δεσμουμένης μικρὸν πρὸ τῆς πόλεως καὶ ταπεινῷ μεταβαλλούσης φρονήματι καὶ σχήματι τῇ πόλει συνάπτειν ἀτεχνῶς ὥσπερ ὑπὸ χεῖρα γιγνομένης δεσπότῃ[103], κἀνταῦθεν λοιπὸν ἑξῆς ἔπειτα

[103] expectes δεσπότου

τὸν ἀδυνάστευτον δρόμον καὶ τὴν ἐλευθερίαν[104] ἀπολαμβανούσης αὖθις, τὸ κάλλιστόν τε καὶ ἥδιστον θέαμα καί, ὡς ἀληθῶς, θαῦμα παντὶ τῷ προσορῶντι.

21. Καὶ μόνης αἰσθήσεως ἀλλ' οὐ λόγου καθιστορεῖν ὅστις ἄρα δυστυχεῖ μὴ προστυχὼν τοσαύτῃ καινότητι πράγματος σὺν ὥρᾳ τοσαύτῃ καὶ φύσεως ἀήθει παντάπασιν ἔργῳ, καθάπερ ἀμέλει καὶ ἄνθρωποι χειροποίητα καλλιτεχνήματα πρὸς ἡντιναοῦν δραματουργοῦνται χάριν ἐνίοτε τυραννοῦντες κατὰ τῆς φύσεως καὶ μετατιθέντες αὐτῆς ὅρια, ἢ νοῦς ἀναπλάττει μόνος ἐξουσίᾳ τινὶ καὶ κράτει καθάπαξ ἀνευθύνῳ δημιουργῶν ἐν ἑαυτῷ κατὰ χώραν ῥᾷστα τὸ προστυχόν, ἢ (f.245[r])ζωγράφος ἀλαζὼν ἴσως καὶ κατὰ τῶν ὄντων ὑβριστής, ἕτοιμος κατ' αὐτῶν τὴν χεῖρα κινῶν καὶ καινοποιῶν ἔκτοπος καὶ ὡσπερεί τις αὐτοκράτωρ καὶ δυνάστης τῆς φύσεως καὶ τῶν τῆς φύσεως ἤ, μᾶλλον εἰπεῖν, αὐτοκράτωρ ἑαυτοῦ καὶ χειρῶν ἑαυτοῦ καὶ χρωμάτων καὶ ὅλως τῆς τέχνης ἐν γράμμασι ποιεῖν καὶ μεταποιεῖν ταχὺς ἀξιῶν ἃ βούλοιτ' ἄν· καὶ ἃ μὴ πέφυκε οὕτω τεράστια μὲν ἐνταῦθα φύσεως ἔργα, νικᾷ δ' οὐ τῇ καινότητι μᾶλλον θαυμάζειν ἢ τῇ μετ' αὐτῆς ἥδεσθαι καλλονῇ τοσαύτῃ· καὶ τὰ μέγιστα καὶ φοβερώτατα τῆς πόλεως ἑκατέρωθεν πελάγη ὥσπερ ὀμφαλῷ τινι ταύτῃ ξυνάπτει. Εἰ δὲ μή, καθάπερ τις κλεὶς ἡ πόλις ἀμφοῖν ἐν μέσῳ κοινὸς γίγνεται καὶ καθείργνυσι καὶ ξυνδεῖ τὰς τοσαύτας εὐρύτητας ἀμφοτέρωθεν ἐπικλυζούσας στενουμένη τὰς ἀορίστους, ὡς εἰπεῖν, πεδιάδας τοσαύτας τῶν ἐκχύσεων καὶ ἀδοκήτους ἐλεῖν μετ' εἰρήνης ἐς τὸ κομιδῇ βραχύτατον. Εἰκάσαις ἂν ὁρῶν γραμμικὸν αὐχένα λοιπὸν εἶναι τὸ χρῆμα Βοσπόρου καὶ ζυγοῦ τινος μιμεῖσθαι τὴν πόλιν δεσμόν, ἐξ ἑνὸς μὲν τοῦ μέρους τὸν Εὔξεινον ἐξαρτῶσαν τοῦ Βοσπόρου, θατέρου δὲ τὸν Αἰγαῖον αὐτὸν καὶ τὰ λοιπὰ πελάγη τῶν Ἑλλησποντίων στενῶν καὶ νέμειν οὕτω δῆτ' αὐτὴν ἔχουσαν ἅπασαν ἰσότητα

[104] εὐλευθερίαν V

καὶ γαλήνην καὶ σταθμὸν αὐτοῖς γίγνεσθαι δικαιοπραγίας εἰς τὴν κοινὴν τοῦ παντὸς κόσμου κατάστασιν καὶ θεωρίαν καὶ τὸν τῆς ὅλης φύσεως τῶν ὄντων διάκοσμον.

22. Καὶ τοσοῦτος ὁ πόντος ἄνωθεν ἐπιβρέμων καὶ χαλεπὸς ἐπικρεμάμενος καὶ κατιέναι δοκῶν πάντων πραγμάτων ἀήττητός τε καὶ ἄσχετος, ὁ δὲ λοιπὸν ἐνταῦθα θαυμαστῶς ὅπως ξυνέχεται καὶ ταπεινὰ πράττει καὶ τῇ πόλει διὰ τῶν στενοτάτων ὅ,τι μάλισθ' ὑποκύπτων πρόσεισιν ἐκ τοσαύτης τῆς δυναστείας καὶ τοῦ θράσους· ὁ μαλῷ καὶ (f.245^{v})ἀλύπῳ ῥεύματι χειροήθης πᾶσαν τὴν ὀργὴν ἀφεὶς ἀσπάζεταί τε ξὺν ὥρᾳ καὶ περιχεῖται τὴν πόλιν πᾶσαν, σχεδὸν κύκλῳ κάλλιστα περίῤῥυτον, καὶ ξυμπλέκεται μέχρι καὶ εἰς πόδας ὑποπίπτων, οὐ κατὰ πάροδον, ὡς ἄν τις εἴποι, ἀμηγέπη συνάπτων καὶ κοινωνῶν οἷ παρήκοον, τῶν αὐτῆς ἐρώτων ἀνεπίστροφος· τέως μέν γε κομιδῇ καταῤῥέων ὁ Βόσπορος ὀλίγος καὶ παραπλήσιος ἐφ' ἑκάτερα ἐνταῦθα λοιπὸν ἔπειτά γε δοκεῖ τι πλέον καὶ κολποῦται μεθ' ὅ,τι πλείστης τῇ πόλει τῆς χάριτος χωρῶν καὶ συμπαρατείνων εἴσω καὶ ὅλον αὐτῇ δίδωσιν ἑαυτὸν λιμένας ταῖς ἀγκάλαις εἰσφέρων τῇ φιλτάτῃ καὶ δημιουργῶν, τοσοῦτος ἐκκλίνων ἀμέλει καὶ τὸν πρότερον αὐτῇ δίαυλον παριεὶς καὶ προσάγων ἡδὺς εἴσω ὅσον ξύμμετρος εἶναι τῷ τῆς πόλεως μόνῳ μεγέθει καὶ παρισοῦσθαι περαιτέρω καταμηδὲν ὁτιοῦν καὶ τοὐλάχιστον προχωρεῖν ἀξιῶν. Ἀλλ', ὡς ἀληθῶς, ἔοικεν εὖ μάλα καὶ δῆλός ἐστι τῇ πόλει μεθαρμοζόμενος καὶ προσέχων αὐτῇ τὸν νοῦν καὶ ταπεινὸς ἐπιμένων καὶ τοῖς παιδικοῖς σχολάζων (κάλλιστον, οἶμαι, χρῆμα προσορᾶν καὶ ἥδιστον καί, οὐκ οἶδ' ὡς εἴ τι ἄλλο τῶν ἄλλῃ πῃ θαυμαστῶν καὶ κοσμίων, αὐτὸ τερπνότατον παντάπασι), κατ' ἀμφότερα βραχὺς εὖρός τε καὶ

μῆκος, κολπούμενος μόνῃ τῇ πόλει καὶ ὠθούμενος ἄνωθεν ἀπὸ[105] τοσούτου καὶ συνίσχων ἑαυτόν, ὡς ἂν εἴπῃς, ἑκών γε εἶναι πρὸς τοὺς τῆς πόλεως ἔρωτας, ὡς ἄρα κέρδος τιθέμενος καί, ὡς ἐμοὶ δοκεῖν, μέγιστον, πάντα τρόπον, ὡς οἷόν τέ ἐστι, συμπλέκειν αὐτῇ. Τοὐντεῦθεν δὲ ἤδη πομπεύει χρώμενος λοιπὸν ἑαυτῷ σὺν ἐλευθερίᾳ καὶ ῥᾳστώνῃ καὶ κράτει τῆς φύσεως καὶ μέγας μεγαλοπρεπῶς ἀνοίγων ἐν ὀφθαλμοῖς τῇ φιλτάτῃ πόλει θέατρον καὶ κατευρύνων ἑαυτὸν ὡς ἂν μάλιστα καθ' ἡδονὴν εὐσύνοπτα (f.246[r])καὶ πελαγίζων ἄλλοτ' ἄλλῃ καὶ πάντα στρεφόμενος καὶ πᾶς γιγνόμενος καὶ μυρίαν καθιστορῶν, ὥσπερ ἐν σκηνῇ τινι καὶ δράματι, μορφὴν τοῖς προθύροις αὐτοῖς τῆς πόλεως.

23. Νησίδια μέν γε μικρὸν πρὸ τῆς πόλεως ταύτῃ[106] συχνὰ καὶ προσάλληλα καὶ πᾶσαν ἀρετὴν ἐπαφρόδιτα καὶ κάλλος θαυμάσιον οἷον. Δοκεῖ μέν πως φιλανθρωπίας ἐρωτικῆς προσεστάναι τῇ πόλει σύμβολα καὶ τοῖς αὐτοῖς ἀποστόλοις καὶ καταστόλοις ἔγγιστα χρήσιμα καὶ χάριτες καὶ σωτηρίας καὶ παραμυθίας ἐχέγγυα καὶ πάντων ἀνιαρῶν ἀλεξίκακα καὶ τῆς χρείας λιμένες, ἵνα δὴ μὴ κατὰ γῆν μόνον ἀλλὰ καὶ κατὰ θάλατταν πᾶσα προαυλίων ἡδονή τε καὶ ἀστειότης εἴη τῇ πάντα μεγίστῃ καὶ θαυμαστῇ πόλει καὶ πάντων πάντοθεν ἐπιδημούντων ἢ πανταχοῦ παριόντων ὑποδοχαί τε καὶ καταγώγια μὴ πρὸς χρείαν μόνην ἀλλὰ καὶ πᾶσαν ἁβρότητα καὶ καλλονῆς ἐπίδειξιν. Δοκεῖ δ' ὑπ' αὐτοῦ τρόπον γέ τινα λίαν ἐρωτικῶς ἀποτετμῆσθαι καὶ διεσπᾶσθαι τῆς φίλης γῆς καί πως ἐγκόλπια συνοικεῖν αὐτῷ καὶ τεθησαυρίσθαι καθάπερ ἐρωτικά τινα δήγματα[107] ἢ τῆς φιλίας ὑπομνήματα δεδομένα τῶν παιδικῶν, ὥσπερ οἱ ποθοῦντες εἰώθασι διιστάμενοι φέρεσθαί τινας ἀλλήλων οὐ μᾶλλον μνήμης ἢ ψυχαγωγίας ἀφορμάς, ἅττ' ἂν ξυλλάχοι σφίσιν, ἐξ ὧν συνίσασι χρωμένοις

[105] ras. post ἀπὸ V
[106] ταῦτα V

ὁπωσοῦν τοῖς φίλοις, καὶ γένοιτ᾽ ἂν αὐτοῖς ἐν καιρῷ τῆς χρείας καὶ σπούδασμα ἐπέραστον κομιδῇ, ζώνη τις ἢ δακτύλιος ἢ καὶ τριχῶν τομὴ (καὶ ζημία τῆς κεφαλῆς, κέρδος μέγιστον τῷ λαμβάνοντι), ἢ χρῆμα ὁ,τιοῦν καὶ τῶν τέως φαυλοτάτων δοκούντων.

24. Θαυμάζω δ᾽ ἔγωγε νῦν τῶν τὰς Πλαγκτὰς καὶ Κυανέας πέτρας ἐπικτυπούντων τε[108] καὶ προσαρασσόντων[109] καὶ καταμυθευομένων τῆς πόλεως. Ποῦ γῆς ἢ (f.246ᵛ)θαλάττης ἐξῳκισμένοι; Τοσαῦτα κατὰ τῶν ἀξιολογωτάτων καὶ πᾶσι δήλων καὶ μάλιστα περιόπτων διὰ τὸ κλέος ἀναιδεῖς εἰσι καὶ καταψεύδονται καὶ καθάπερ ἀπὸ μηχανῆς τινος τραγικῆς ἀντανιστῶσι τῇ πόλει τοιαῦτά τινα φάσματά τε καὶ δράματα καὶ τοὺς ἀκροωμένους ὡσπερεὶ δεδίττονται κακοὶ κακῶς τε καὶ ἀμαθῶς παραληροῦντες οὕτω παντάπασιν, οὐ μόνον ἔκτοπα τῆς ἀληθείας ἀλλὰ καὶ τῆς πόλεως. Ἧς τὰ μὲν ἄνω χαλεπῶς πόῤῥωθεν ἐξ Ὑπερβορέων, ἵν᾽ οὕτως εἴποιμι, καὶ τῶν σκυθικῶν χειμώνων καὶ Μαιώτιδος κατιὼν Εὔξεινος δυσάντητος καὶ αὐθάδης καὶ δυσχερὴς χρῆσθαι καθάπαξ, ἔπειτ᾽ ἐνταῦθα τοῖς τοῦ Βοσπόρου στενοῖς εἴργεται καὶ δουλεύει θαυμάσιον οἷον τῇ πόλει ξυνάπτων οὐχ ἑαυτοῦ μόνον ἀλλὰ καὶ πάσης, ὡς ἔπος εἰπεῖν, θαλάσσης προσηνέστατος καὶ πᾶν ἀμείλικτον καὶ ἀγριωπὸν ἀποθέμενος· ἐπὶ θάτερα δὲ Προποντὶς κατολίγον εὐρυνομένη κάλλιστόν ἐστι καὶ ἡμερώτατον ἁπάντων θέαμα καὶ φιλανθρωπότατον ὁρᾶν τε καὶ χρῆσθαι τά τε ἄλλα καί, οἷς ἀναδίδωσιν, ἄλλοις ἄλλῃ συχνοῖς ἑκάστοτε νησιδίοις· καὶ καταποικίλλεται τερπνότατα, καθάπερ ταῖς στικταῖς ἐλάφοις ἢ ταῖς παρδάλεσιν ἡδονὴν φέρει καὶ καλλονὴν τοῖς ὁρῶσιν ἡ κατὰ τῆς δορᾶς αὐταῖς

---

[107] δήγματα V[pc]: δείγματα V[ac]
[108] τε V[sl]
[109] προσαῤῥασσόντων V

σκηνὴ καὶ ὁ κόσμος τῶν βαφῶν ὥσπερ ἐν λειμῶσι τὰ ἄνθη· καὶ τοίνυν ἔξεστιν ἐπ᾽ ἀμφότερα μάλιστα πειρᾶσθαι καὶ θαυμάζειν.

25. Ἂν μὲν γὰρ ἐκ τῆς πόλεως εἰς αὐτὴν ὁρᾷς τὴν Προποντίδα ὥσπερ αὐλῆς τινος ἠσκημένης εὖ κατ᾽ ὀφθαλμοὺς αὐτίκα κεχυμένης ὁρᾶν δόξαις ἂν ἔρκος ἢ λειμῶνός τινος χάριν εὐσύνοπτα πάντῃ κύκλῳ περαίνουσαν ἡδονάς τε πάσας καὶ δρόμους καὶ περιόδους καὶ καταπαύσεις ἁπάσης ῥαστώνης καὶ λιμένας ταῖς ὄψεσι προσχεῖν (f.247^{r})καὶ ἀνακλίσεις ὑφαπλοῦσαν, ἔστιν ἃς ἐκ νήσων, ἔστιν ἃς ἐξ ἀντιθέτων ἠπείρων, ἄντικρυς ἀλλήλαισι, ἑκὰς τοῖς σοῖς ὀφθαλμοῖς καὶ τῇ πόλει, καὶ κάλλη κατὰ γῆς οὐράνια· καὶ καθάπερ ἀμέλει κάτοπτρον αὐτὴν οὖσαν τῇδε τὴν θάλατταν οὐρανοῦ κάτωθεν ἀποματτομένην ὑποδέχεσθαι τὴν ἐκείνου μορφὴν καὶ ἀντιλαμβάνεσθαι τῆς ἐκεῖθεν αἴγλης ἀστράπτειν τε ἐντεῦθεν καὶ ἀνατείνειν καὶ καθιστορεῖν ἐφ᾽ ἑαυτῆς καὶ ἀναδεικνύναι κατ᾽ ἀντανάκλασιν τὴν ἄνω πανήγυριν τῆς ἁπάσης λαμπρότητος καὶ τῶν ἀστέρων ἕδρας καὶ διαστάσεις καὶ πάντα φαιδρὸν[110] μίμημα γιγνομένην ἀτεχνῶς αὐτῆς τῆς κατ᾽ οὐρανὸν εὐγενείας καὶ ὥρας καὶ θέαμα γαληνὸν μὲν καὶ ἄλυπον κατ᾽ ἐκεῖνον ἀλλὰ κεκραμένον ὄγκῳ καὶ ἥδιστον μὲν ὀφθαλμοῖς ὁρᾶν καὶ τερπνότατον, ἀλλὰ τὸ αὐτὸ καὶ θάμβος ἐμποιοῦν, ὡς τὸν ἐπόπτην νοῦν εὖ μάλα συνάγειν αὐτῷ προσέχειν μετὰ τῆς τῶν ὀφθαλμῶν ἑορτῆς, καὶ ὅλως τὸ χαρίεν οὐκ ἔξω θαύματος ἢ μᾶλλον ἀξιώματος πλείστου, τὸν μέν γε στίχον τῶν ἄστρων καὶ τὸν χορὸν καὶ τὰ μέτρα τῶν σταθμῶν καὶ τὴν εὐρυθμίαν. Ἃ δὴ ταῦτα τὴν ἄνω περιοῦσαν[111] ὄψιν ξενίζει προσηνῶς ὡς ἥδιστα δόξαις ἂν ἀντανισοῦν διὰ πάντων ἴσως εἰκάζων ταῖς κατ᾽ αὐτὴν δὴ

---

[110] φαιδρὰ V
[111] περιιοῦσαν V^{pc} : περιοῦσαν V^{ac}

νήσοις, ἃς ἐν τῷ μέσῳ σὺν ἁρμονίᾳ κατὰ διαστάσεις ἀνίσχει καὶ σκηνοποιεῖ τοῖς ὀφθαλμοῖς περιουσίᾳ χάριτος· καὶ τοῦτο μὲν οὕτω.

26. Ἀτάρ, εἰ μικρόν γ' ἐπὶ θάτερα, πρὸ τῆς πόλεως αὖθις αὐτῆς, ἔξω τῶν τῆς πόλεως ἀσφαλισμάτων, τῶν τοῦ Βοσπόρου, λέγω, προέλθοις, στενῶν καὶ πυλῶν, ὡς εἰπεῖν, καὶ τοῖς Εὐξείνου θαύμασι δοίης σαυτὸν ἀναγόμενος, θάμβος τὸ πᾶν ἐνταῦθα καὶ δέος· καὶ χρῆμά τι τοῦτ' ἐνταῦθα ἀμίμητον ἤ, μᾶλλον εἰπεῖν, ἀμύθητον (f.247^{v})καὶ ἀπέραντον ὡς ὅρῳ χρῆσθαι καὶ τελευτᾶν ὁπηοῦν καὶ τοὺς ὀφθαλμοὺς ἐπὶ λιμένος ἱστᾶν· καὶ οὐκ ἔστι περιιόντα διὰ τῆς ἐποπτείας εἰρήνην ἄγειν καὶ καταπαύειν ἀμηγέπῃ καὶ τυγχάνειν φιλανθρωπίας πάντῃ χρώμενον καὶ στρεφόμενον, ἀλλὰ τὸ ξύμπαν ἄγριον καὶ κατάπληξιν εἶναι καὶ σεισμὸν ὀφθαλμοῖς ἁπαντᾶν· καὶ τὸν νοῦν οὐκ ἔστι λοιπόν, οἶμαι, ῥᾷστα χωρεῖν, ἀλλὰ πολὺς ἴλιγγος καὶ πάντοθεν ζάλη καὶ σωφροσύνης καὶ βουλῆς καὶ εὐλαβείας ἀνάγκη καὶ πόθος ἀναχωρεῖν. Καὶ τίς ἂν λόγος ἐφίκοιτο ὡς οὐδὲν μᾶλλον οὐδέσιν ἀκίνδυνα τἀνθάδε τοῖς χρωμένοις πᾶσιν οὐδ' ὥστε καὶ περιγενέσθαι καὶ τοῦ σκοποῦ καθάπαξ ἀδεῶς τυχεῖν, οὐ τοῖς πλέουσιν, οὐ τοῖς ἐφορῶσιν, οὐ τοῖς καθιστοροῦσιν ἐν λόγοις; Πλήν γε τοσοῦτο νῦν ἐνταῦθα λέγειν ἔχομεν εἰς τὴν πρόθεσιν ὡς πάντα περὶ τὴν πόλιν εἰσὶ καὶ τῆς πόλεως καὶ χάριτες καὶ θάμβη καὶ φοβερὰ καὶ ἥδιστα καὶ πάντα χρήματα, εἰ δὲ βούλει, θαύματα· καὶ οὐδὲν ὅ,τι οὐ τῶν πλέον τοῦ προχείρου ξυνιδεῖν καὶ ὅλως τῶν ὄντων ἐν κόσμῳ, ὃ μὴ κατ' αὐτήν τε καὶ περὶ αὐτὴν καί, ὡς εἰπεῖν, ἐξ ἄρα πάντων εἰδῶν αὕτη, κάλλιστον ἓν ὁ,τιοῦν χρῆμα, κέκραται, ἠπίων τε καὶ μὴ βριαρῶν τε καὶ τῶν ἐναντίων καὶ πάντων μάλιστα τῶν ἐναντίων[112], εὖ μάλα ξυνιόντων αὐτῇ πρὸς ἑνὸς τοῦ τελεωτάτου κατασκευήν, ἀτεχνῶς μίμημα τοῦ παντὸς κόσμου.

27. Καὶ φθάνω πρότερον λέγων ὡς ἄρα αὐτὸς ἐκ πάντων ὁμοῦ καὶ τῶν ἐναντίων ὁμοῦ παμπλῆρες ἔργον ἵσταται καὶ δημιούργημα τέλειον καὶ αὕτη παραπλησίως ἐκ θαλάττης οὕτω καὶ τῶν ἐνταῦθα τεραστίων τε καὶ χαρίτων, ἐκ γῆς αὖθις καὶ τῶν τῆς γῆς ἐφαμίλλων ἁπάντων ἀλλήλοις τε καὶ τοῖς ἐκ θαλάττης. Οὔτε γὰρ ἅπασα χάρις ἐνταῦθα οὔθ' ἅπασα (f.248[r])χρεία, καθόλου γε εἰπεῖν, ἄπεστιν ἢ τοὔλαττον ἢ καὶ ὁπηοῦν ἔχει τῇ πόλει· πεδία τε γὰρ πλεῖστα καὶ ὄρη πλεῖστα καὶ ἀμφότερα κάλλιστά τε καὶ ὀνησιμώτατα αὐτά τε ἐφ' ἑαυτῶν σκοπουμένῳ καὶ ὡς ἄρα ἀλλήλοις ἐπιμέμικται καὶ κέκραται· καὶ τοίνυν ἐντεῦθεν ἐκ παντὸς τοῦ τρόπου κατ' ἀνάγκην ξυμβαίνει εὖ τε κάλλους καὶ παντοίων κόσμων εἶναι τὴν πόλιν, εὖ τε φορᾶς ἁπάσης καὶ βίου χρήσεως, ὧν ἁπάντων ἀνθρώποις οὖσι δεῖ, εὖ τε μάλιστ' ἐντεῦθεν ἀέρων κράσεως, οὗ καὶ μάλιστα πρὸς ζωῆς εὐμάρειαν δεῖ καί, ὡς ἔπος εἰπεῖν, παντὸς εὖ τοῦ τελεσφόρου πρὸς εὐδαιμονίαν, καὶ οὐκ ἔστιν οὐχ ὅτου τινός, ἂν εἴποι τις, οὐ τῶν ἁπάντων χρησίμων. Τῆς γάρ τοι Θρᾴκης ἡ χώρ' αὕτη καθ' ἡμᾶς, ἧς τὸ καιριώτατον ἅπασαν ἀρετὴν πόλει προσήκουσαν ἀποτέτμηται τῇδε τῇ πόλει, πεδίοις μέν, οὐκ οἶδ' ὡς εἴ τις ἄλλη, πάνυ τοι πλείστοις εὐρύνεταί τε καὶ πελαγίζει καὶ κατακέχυται· ὄρεσι δ' αὖθις ὅλη συχνοῖς τε καὶ συνεχέσι κατατέτμηται, μᾶλλον δ' εἰπεῖν, συνέστραπται διὰ πάντων καὶ συνδέδεται καὶ καθάπερ σῶμά τι βριαρὸν ὀστέοις ἠρρένωται καὶ κραταιῶς ἑστάναι φύσιν ἔχει καὶ οὐ μαλακῶς οὐδ' εὐλύτως· καὶ τὸ σαρκῶδες αὐτῇ καὶ πῖον τῆς διασκευῆς καὶ κατὰ τὴν τάξιν τῆς φύσεως καὶ τοὺς μερισμοὺς ἐῤῥαστωνευμένην ἔχεσθαί τε καὶ πυκνοῦσθαι δοκεῖ τοῖς τῶν ὀρῶν ὀστώδεσι δεσμοῖς καὶ τοῖς στερῤῥοτέροις αὐτοῖς τῆς ὅλης συνεχείας καὶ πλάσεως, ὡς εἶναι καὶ τὴν ὥραν μὲν ἐκ τῶν πεδίων ἡδίστην οἵαν ἐκτόπως καὶ τὴν ὠφέλειαν δὲ οὐχήκιστα, εἶναι δὲ καθάπερ

[112] καὶ πάντων μάλιστα τῶν ἐναντίων V[mg]

ταῖς καταφράκτοις τάξεσι καὶ στρατιαῖς πάντοθεν καὶ πολὺ τὸ ἀσφαλὲς τοῖς ὁπλίζουσιν ὄρεσι καὶ βέβαιον καὶ οὐκ εὐρίπιστον ῥᾳδίως, οὐδὲ κοῦφον, οὐδ' εὐκίνητον· καὶ πολὺς μὲν ὁ κόσμος, πολὺ δὲ τὸ κράτος, καὶ (f.248^{v})πολλὴ μὲν ἡ χάρις, πολὺ δὲ τὸ χρήσιμον. Οὐ γὰρ ἔρρωται μὲν ἐκ τῶν πεδίων εἰς ἅπασαν γονὴν καὶ φορὰν καὶ φύσει καὶ πάσῃ τέχνῃ καὶ τῶν οἰκούντων ἐπιμελείᾳ τε καὶ ἀσκήσει (οὐκ οἶδ' ὡς εἴ τις ἄλλη παραπλησίως ἐν τούτοις τῶν δοκίμων καὶ ὀνομαστῶν πάλαι τε καὶ νῦν), οὐκ ἔρρωται δ' ἀμέλει καὶ τουτονὶ τὸν τρόπον ὑπὸ τῆς τῶν ὀρῶν συμπλοκῆς, ὡς ἔφην, καὶ τῶν ἐντεῦθεν φυσικῶν συνδέσμων εἰς τὸ καρτερὸν αὐτὸ καὶ ἀκμαστικόν, ἀλλ' ἄνετος ἥπλωται καὶ ῥᾷστ' εὐεπιχείρητος ἐπιβουλῇ τινι τύχης καὶ κακουργίᾳ διὰ τὸ τῆς φύσεως, ὡς εἰπεῖν, ἄτονον καὶ θηλυπρεπές τε καὶ ὕπτιον.

28. Ἢ μάλιστ' ἔξεστιν, οἶμαι, νῦν ἐρεῖν ὡς ἄρα, ἐρρωμένη κομιδῇ πρὸς ἅπασαν εὐφορίαν τῶν ὀνησίμων καρπῶν καὶ πάσης γονῆς ἐν τοῖς κατ' αὐτὴν πεδίοις εὖ μάλα βρύουσα, οὐδὲν ἧττον κἀν τοῖς αὐτῆς ὄρεσιν ἁπάσης γονῆς εὖ μάλα βρύει καὶ χρήσιμός ἐστι καὶ ὡς ἔνι μάλιστ' ἔρρωται· καὶ ἃ φέρουσιν ἄλλοις μόνα κατὰ φύσιν τὰ πεδία, μόνοις ἡμῖν καὶ τὰ ὄρη ταῦτα πορίζεται καὶ δημιουργεῖ καὶ δαψιλῶς φέρει· καὶ τὰ μὲν αὐτῶν ἀνεῖται τῇ πόλει καὶ ἃ μάλιστ' αὐτῆς ἔγγιστα τῆς ἁπάσης χώρας πρὸς τὴν τῆς ὕλης ἀδάπανον μετουσίαν καὶ χορηγίαν, ἣν τῶν ὀρῶν ἐστι καρποῦσθαι (νόμος φύσεως ἀρχαῖος ἀνθρώποις οὕτω πάνυ τοι πλεῖστα καὶ μήκιστα σχεδὸν ἐξ αὐτῆς τῆς αὐτίκα πόλεως ἵσταται[113]), ῥᾴδιον μὲν καὶ ἀπραγμάτευτον ἀλλὰ καὶ παμπλῆρες ταμιεῖον τῆς χρείας, ἧς ἐξ αὐτῶν δεῖ τῇ πόλει. Τὰ δὲ γυμνὰ λείπεται τοῖς ἀροῦσι καὶ πρὸς ὑποδοχὴν ἁπάντων σπερμάτων κεῖται χρήσιμα καὶ καθάπαξ ἀνύσιμά τε καὶ ἀζήμια τοῖς καταβάλλουσι καὶ χρωμένοις· καὶ τοίνυν ὁρᾶν ἐστι διὰ πάντων

ἰόντα τῆς χώρας ὑπτίων τε καὶ τῶν ἀνεχόντων ἠρμένων καὶ ὀρεινῶν (καὶ τὰ πολλά γε (f.249[r])τοιαύτῃ κατὰ φύσιν ἐστὶ καὶ εἴρηται), διὰ πάντων τοίνυν ὁρᾶν ἐστιν αὐτὴν εὐτοκοῦσάν τε καὶ γονίμην καὶ οὐ τὰ μὲν οὕτω φιλάνθρωπον καὶ χρησίμην, τὰ δ' οὔ, ἀλλ' ἀκαρποῦσαν καθάπαξ καὶ στειρεύουσαν, οὐδὲ τὰ μὲν ἐργατικὴν εὖ μάλα καὶ συντελῆ, τὰ δὲ παντάπασιν ἀργήν τε καὶ νοσοῦσαν καὶ δυσξύμβλητον χρῆσθαι, ὡς ἄρα τῶν μερῶν αὐτῆς παρέλκειν ἔνια δυστυχῆ καθάπερ ἐπὶ τῶν ἀμβλωμάτων, ἃ παντελεῖ[114] κατέκρινεν ἡ φύσις ἀχρηστίᾳ[115], οὐδὲ τοῖς μὲν τῶν οἰκούντων εὐετηρίας ἀφορμὴν ἀεί, τοῖς δὲ τοὐναντίον ἅπαν, ἄδικόν τινα καὶ τὴν νομὴν ἄνισον καὶ τὴν χρείαν, ὡς τὸν ἀεὶ χρόνον σφᾶς συγκεκληρῶσθαι πονηρᾷ καὶ δυσέργῳ τύχῃ καὶ οὐχ' οἷόν τ' εἶναι πράττειν εὖ, ἀλλὰ πᾶσαν ὁμοῦ πᾶσι τοῖς ἐποίκοις εὐεκτοῦσαν καὶ χορηγὸν εὐδαιμονίας καὶ εὐζωίας καὶ βίου ῥᾳστώνης, ὡς ἐξεῖναι μὲν αὐτῇ φέρειν τὰ πεδία, ἐξεῖναι δὲ τὰ ὄρη φέρειν παραπλησίως, ἐξεῖναι δ' αὐτὴν πάντως δι' ὠντινωνοῦν φέρειν ἀεὶ καὶ μήποτ' ἀπολείπειν μὴ δ' ἀτευκτεῖν μὴ δ' ἐπ' ἐνίων μὲν τῶν ξυντυχόντων χρόνων εὐγενῆ δείκνυσθαι καὶ κάλλιστα, ἐπ' ἐνίων δ' ἀμελεῖ συμφορᾷ χρῆσθαι καὶ κάμνειν· οὐδ' ἔστιν ἡμῖν μόνοις τῇ μὲν εὐκαιρεῖν, τῇ δὲ μή· ἀλλὰ νοσεῖν ὅλως ἡμῖν γε οὐκ ἔξεστι τὴν ἀπὸ γῆς φορὰν οὐδὲ παλαίειν ἠτινιοῦν ἀωρίᾳ καὶ ἀηδεῖ καὶ ἀήθει τύχῃ, τὸν ἅπαντα δὲ χρόνον, κἄν, ὅστις ἦν, νῦν γε εἶναι, κἂν ἑκάστοτε παντοῖος, ἡμῖν ἐστιν εὖ χρῆσθαι καὶ πράττειν ἀνεκτῶς. Καὶ γεωργοῦσι μὲν ἡμῖν ὑετοὶ κλύζοντες καὶ χειμῶνες καταλιμνάζοντες τῶν πεδίων ἀπὸ θατέρου μέρους, λέγω, τῶν ὀρῶν, γεωργοῦσι δὲ τοὐναντίον ἀπὸ τῶν πεδίων ἔπειτ' αὖθις ἀνομβρίαι τε κατὰ τῶν ὀρῶν καὶ αὐχμοὶ ἢ βοηθοῦντες ὀλίγον (f.249[v])ὑετοὶ διὰ τὸ φύσει πρόχειρον τῆς γῆς καὶ ῥέον εἰς εὐτοκίαν,

---

[113] πόλεως ἵσταται αὐτίκα primum scripsit deinde litteris β γ α suprascriptis ordinem invertit V
[114] ἃ παντελεῖ V[pc] : οἷς παντελῆ V[ac]
[115] ἀχρηστίᾳ V[pc] : ἀχρηστίαν V[ac]

πάντως δὲ γεωργοῦσι πάντες καιροί· καὶ οὔποτε κάμνομεν, ὡς οἱ πολλοὶ ποθοῦντες ἀναγκαστῶς ἀλλοτρίαν συντέλειαν ὡς ἀποθέσθαι καὶ διοικήσασθαι τὴν ξυλλαχοῦσαν ἴσως ἐπήρειαν καὶ ζημίαν ἐνίοτε τοῦ καιροῦ.

29. Ἀλλ' ἡμῖν, ἔοικεν, ἡ γείτων αὕτη καὶ συστοιχοῦσα κατὰ θεῖον θάλαττα τοῦτο μόνον λυσιτελὴς καὶ τοῦτο βοηθεῖ καὶ ὄχημα τῆς ἐλευθερίας καὶ μεγαλοψυχίας γίγνεται ῥᾷστα διακονεῖσθαι καὶ φέρειν ἀδάπανον ἅπασιν ἑκάστοτε τῆς ἐνθένδε παγκαρπίας φιλανθρωπίαν καὶ νομὴν βίου καὶ ζωῆς ἀφορμὴν καὶ χρῆσιν καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀμφότερα δυναμένη καὶ δυσίν, ὡς ὁ[116] λόγος, χερσὶ ξυμμαχοῦσα κατάγειν τε καὶ ἀνάγειν τὴν τῶν ἐπιτηδείων, ὥσπερ ἐν ἐράνῳ, συντέλειαν καὶ παραμέρος ἀντίδοσιν τῇ καθ' ἡμᾶς. Εἰς τοῦτο μόνον εὐγενείᾳ καὶ μεγαλοψυχίᾳ πονεῖ τε[117] καὶ πλεῖστον ὅσον, ὡς ἀληθῶς, ἐπιπαντὸς ἔτους φέρει ἄλλοτ' ἄλλοις ὧν ἡ παρ' ἡμῖν εὔγαιος[118] ἀγαθῶν ἀεὶ βρύει· καὶ διαπαντὸς τοῖς ἐπιχρείοις αὕτη πηγάζει καὶ πάνυ τοι πλείστοις ἔστιν ὅτε τεμνομένη καὶ μεριζομένη κατὰ ταὐτὸν διαῤῥεῖ καὶ πηγάζει καὶ ἀεὶ πάντῃ, νῦν μὲν τῇδε, νῦν δ' ἐκεῖ, καὶ ἄλλοτ' ἄλλῃ βιώσεως εὐφορίαν, ἀκάματος ἀκαμάτου χορηγίας ἔπειτα καὶ ἀηττήτου μεγαλοφυίας ὑπηρέτις καὶ συνεργὸς καί, ὡς ἀληθῶς, κατὰ τὴν παροιμίαν, ἀγαθῶν θάλασσα πᾶσι διαρκὴς καὶ ποριζουσα ἑκάστοθ' ὧν ἄρα δέοι ἂν οἱστισινοῦν καὶ ἄττα βούλοιντ' ἄν, τὰ μὲν εἰς τὴν ἀναγκαστὴν καὶ ἄφυκτον χρείαν, τὰ δὲ καὶ[119] ἡδονῆς περιουσίαν, ἐκ τῆς ἐνθένδε λοιπὸν ἀστειότητος εἰς τὴν φορὰν καὶ γονῆς εὐγενοῦς.

30. Καὶ τῷ ὄντι γ', ἐμοὶ δοκεῖν, αἱ παρ' ἡμῶν αὖραι ζωοφόροι πᾶσιν ἀνθρώποις ἐπαντλοῦσι καὶ ἀναχέουσι βίοτον καὶ φύσεως ἱκάνωσιν καὶ ἀγωγὴν

---

[116] ὁ V^{sl}
[117] πονεῖ τε V^{pc} : πονεῖται V^{ac}
[118] εὔγαιως V
[119] εἰς fortasse addendum

(f.250^{r})εὐφόρητον καὶ ἄπονον καὶ πᾶσιν, ὡς ἔπος εἰπεῖν, τοῖς κάμνουσι πνεῦμα γίγνονται τελεσφόρον οὐσίας τε καὶ μονῆς εὖ ἔχειν καὶ ἵστασθαι καὶ θαῤῥεῖν ἑαυτοῖς, ὡς ἄρα πολὺ τὸ κράτος ἐνταῦθα· καὶ οὐδὲν ἄλλο τῇδε ἢ τῆς ὅλης οἰκουμένης, οἶμαι, καρδία καὶ πηγὴ ζωῆς καὶ κοινὸν τῆς ἀνθρωπίνης φύσεως ταμεῖον βιοῦν ἐν ῥᾳστώνῃ, μάλ' ἐπαρκοῦν ἑκάστοις ἑκάστοτε καὶ μάλ' ἐπαρκέσον, ἔστ' ἂν Θεὸς μένειν τὸ πᾶν βούληται, ὡς ἐνταῦθά γε οὖσαν ἅπασι, μᾶλλον δ' ἐντεῦθεν, τὴν ἀσφάλειαν ἀμέλει καὶ τὰς χρηστὰς ἐλπίδας τοῦ βίου καί, ὅπερ ταῖς ἄλλαις πόλεσι τὰ πρυτανεῖα δύνανται, τοῦτο τὴν καθ' ἡμᾶς πόλιν μεγίστην ταύτην καὶ χώραν αὐτοῖς πᾶσιν ἀνθρώποις δυναμένην καὶ πάσαις πόλεσι, νέμειν ἑκάστοις τὸ γιγνόμενον καὶ μὴ διαλείπειν εὖ ποιοῦσαν μὴ δ' ἀμελεῖν τῆς χορηγίας μὴ δὲ τῆς χρείας ἅπασιν ἀλλὰ καὶ βούλεσθαί τε καὶ δύνασθαι τὰς εὐεργεσίας πᾶσιν ἀνθρώποις καὶ νόμιμον ἀσάλευτον τοῦτ' ἔχειν κατὰ παντὸς τοῦ χρόνου καὶ προστασίαν πολυαρκεστάτην τῆς ἁπάσης οἰκουμένης, ὑπὸ τῆς ἄνωθεν θείας προνοίας λαβοῦσαν ἄτρεπτον τὴν ψῆφον· καὶ τοίνυν μυρία μὲν ἡ τῆς μεγίστης ταύτης καὶ πάντα θαυμαστῆς πόλεως πανταχοῦ δόξα καὶ τὰ κλέα πομπεύει κατὰ πάντων ἀνθρώπων ἐκ παντὸς τοῦ τρόπου.

31. Τίς δ' ἂν ταῦτα πάντα κατὰ θνητῶν ἀνθρώπων μυθήσαιτο; Ἢ τίνες ἂν ἢ πόσαι γλῶτται τοσοῦτο πρᾶγμα πάντοθεν ἀνέφικτον πειρᾶσθαι; Πλείστη δ' οὖν ὅμως καὶ παρὰ πλείστοις καὶ σφόδρα κρατοῦσα τῆς μεγαλοδοξίας ἀφορμὴ καὶ πάντας ἀνθρώπους ἐπιστρέφουσα τῇ πόλει νοῦν ἔχειν ὡς ἄλλο τί ποτ' ὂν ἐνταῦθα ἢ κατ' ἄλλ' ἅπαντα πράγματα καὶ ἡ τῆς σιτοπομπίας αὕτη χορηγία διὰ πάντων ἐθνῶν καὶ χωρῶν καὶ πόλεων καὶ τὸ μέγα τῆς πόλεως ὄνομα ξυμπαραπέμπουσα μετ' (f.250^{v})εὐφημίας, ὅσα εἰκὸς τοῖς τε πραττομένοις ἑκάστοτε τὴν χρείαν καὶ τῇ προτιθείσῃ πᾶσι τοὺς θησαυροὺς ἑτοίμῃ τῆς χρείας

καὶ ἀεννάους ἑκάστοις πλεῖν ἢ καὶ κατὰ τὴν χρείαν, οἶμαι. Οὐ γάρ ἐστι πάντως ἀγνοεῖν ὅθεν ἡ παρέχουσα πηγὴ καὶ τὰ νάματα τῆς φιλανθρωπίας, οὐχ ἧττον ἢ νήπια τὴν μητέρα τε καὶ τροφόν, ὧν ἑκάστοτε ποθεῖ πρὸς τὸ τῆς διαδόσεως ἔθος, οὐδ' ἔστι μὴ ἀγνοοῦντα μὴ λοιπὸν ἔπειτα κομιδῇ θαυμάζειν τοῦ τοσούτου πλούτου καὶ τῆς ἀφθονίας. Ἀλλ' ἡ χρῆσις ἕλκει πρὸς τὴν χορηγίαν αὐτίκα, ἀλλ' ἡ χορηγί' αὖθις πρὸς τὸ θαῦμα τῆς ἀδαπάνου καὶ προχείρου νομῆς· καὶ τοὺς εὐεργέτας, πᾶσα ἀνάγκη, πάντες εἰδότες, πάντες, ὅσοι δίκαιοι καὶ σωφρονοῦντες, μάλιστα τιμῶσι προνοοῦντες καὶ τὸ μέλλον ἴσως ὡς ταύτῃ γε συνοῖσον, ἢν καὶ αὖθις δέοι ἄν. Εἰ δὲ μή, κλάοιεν ἂν κακοὶ κακῶς, ἀμαθεῖς τοῦ βελτίστου σφίσι, καὶ οὐκ ἔστιν ἰᾶσθαι τὴν νόσον ἔπειθ' ἑξῆς, ἢν ἄρα κάμνοιεν παραπλήσια οὕτως, οὔτ' ἀγνοεῖν οὔτε μὴ θαυμάζειν οὔτε μὴ ποθεῖν οἷόν τέ ἐστι τὴν τοσαῦτα δυναμένην καὶ τοσαῦτα ἀρκοῦσαν μεγαλοψύχως· καὶ ὁρῶμεν, ὡς ἀληθῶς, ἅπαντας ἀνθρώπους, ὅσοι δυστυχεῖς ἐπ' οἴκου πρὸς τὴν ἀπαραίτητον ἑκάστοτε μετουσίαν, ὡς ἔπος εἰπεῖν, τῆς ζωῆς καὶ οὐκ ἔστι κατὰ χώραν σφίσι χρῆσθαι, τάχιστ' ἔπειτα καὶ ῥᾷστα τῇδε προστρέχοντας εὖ μάλ', ἡμῖν ὡς ἄρα γε δοκοῦν ἑκάστοις, τὴν πικρὰν ὑπαλλάξαι τύχην ἐξεῖναι τῆς ἐντεῦθεν εὐφορίας ἀεὶ μόνης καὶ τὴν ἐπήρειαν τῶν καιρῶν εὖ θέσθαι· καὶ οὐ δοκοῦν μόνον οὕτως ἀλλὰ καὶ ξυμβαῖνον ἔπειτα τοῖς ἔργοις αὐτίκα, ὅστις τῆς ἐνταῦθα εὐγαίου[120] πειρῷτο σαφῶς· καὶ στενοῦται μὲν ἡ θάλαττα σχεδόν, ὡς εἰπεῖν, τοῖς τοσούτοις φορταγωγοῖς καταστόλοις ἰταλικοῖς καὶ τοῖς ἄλλοις ἅπασιν. Οἳ τὸν ἅπαντα[121] <....>[122] (f.251[r])οἷς ὅ,τι περὶ τῶν ἅπασι δήλων, προὔργου δ' οὐδέν, οἷς ὅ,τι κἂν πάνυ τοι πλεῖστα λέγοιντο, πάνυ τοι πλεῖον τοῦ τῷ πράγματι προσήκοντος λείποιντο ἄν, καὶ πάνυ τοι πλεῖστον καὶ τὸ περὶ τούτων, ἔοικε, τρίβεσθαι.

---

[120] εὔγαιω V
[121] αἰῶνα fortasse addendum
[122] hic deest unum folium (circa 520 verba desunt) V

Ξυμβαίνει μὲν μηδὲν εἶναι πρᾶγμα πείθειν μὴ δ' ἐργῶδες, ξυμβαίνει δ' εἶναι διὰ τὸ μὴ τυχεῖν ἐξεῖναι τῶν δικαίων κομιδῇ σπουδάζοντα πάντων ἐργωδέστατον, ὥσθ' ἅμα μὲν ἄκαιρον, ἥπερ ἔφην, καὶ ἅμα ἀδύνατον καὶ ἅμα μάλιστ' ἀνόνητον[123]· καὶ ὅστις σωφρόνως ἐνθάδ', οἶμαι, δρῴη ἄν, ἐῴη ἄν, καὶ ὅστις μετὰ λογισμῶν ἐπιχειρεῖν παντὶ βούλοιτ' ἄν, φεύγειν τὸ μῆκος αἱροῖτο ἄν· εἰ δὲ μή, μάταια πονεῖν ἐλέγχοιτ' ἄν.

32. Καὶ τοίνυν εὖ μάλα κἀγώ γε ξυνιεὶς ἐνταῦθα καὶ παριεὶς ἐκεῖνο φημί· καὶ τοῦτο γὰρ ἦν ἡ πρόθεσις ὡς, εἰ τὰ τῆς Ἀλεξάνδρου πόλεως καὶ τιμᾶται καὶ θαυμάζεται, καὐτὸς ἐγώ φημι μάλισθ' ὡς ἄρα δικαίως καὶ τιμᾶται καὶ θαυμάζεται[124] καὶ διὰ τὴν φύσιν αὐτὴν καὶ τὸ τοῦ πράγματος δίκαιον καὶ δι' Ἀλέξανδρον ἀλλὰ καὶ τοῦτ' αὖθις ὡς καὶ αὐτὸς Ἀλέξανδρος τῶν αὐτῶν διὰ τὴν πόλιν τυγχάνει καὶ δικαίως κἀνταῦθα, φήμ' ἔγωγε, τοσούτου πράγματος εἰς τὸν βίον γενόμενος ἐπιτυχὴς ἐννοῆσαί τε κατὰ σκοπὸν καὶ ἀνύσαι, τί ἄν τις ἐνταῦθα λέγειν ἔχει περὶ Κωνσταντίνου, τοῦ πάνυ καὶ βασιλέων ἐκείνου θειοτάτου, τοῦ πολιστοῦ καὶ προστάτου καὶ πάντων ἡμῖν ἡγεμόνος τῶν καλλίστων; Καὶ ἅμα μὲν τί ἄν τις περὶ αὐτοῦ διὰ τὴν καθ' ἡμᾶς ταύτην βασιλικὴν ὄντως ἐπ' ἐκείνου κληθεῖσαν πόλιν καὶ τὴν τοσαύτην ἐκείνου καθάπερ ἐν μεγάλῳ τινὶ θεάτρῳ τῷ παντὶ κόσμῳ θαυμαστὴν ταύτην φορὰν καὶ μεγαλοπρεπείας καὶ μεγαλουργίας ἐπίδειξιν; Ἅμα δὲ τί ἄν τις περὶ αὐτῆς καὶ διὰ τὴν φύσιν ὡς ἐκεῖ καὶ τὸ τοῦ πράγματος δίκαιον καὶ δι' αὐτὸν Κωνσταντῖνον, τὸν πάντα μέγιστον καὶ περὶ οὗ πάντα τις καὶ τὰ πάντων μέγιστα λέγων (f.251^{v})οὐδὲν ἂν ὅλως ἐρεῖ οὔκουν γε προσῆκον καὶ τυγχάνον αὐτοῦ ἀλλ' ὡς ἂν μάλισθ' ἅπασιν ὄφλειν γέλωτα καθάπερ σώματι γενναίῳ τινὶ

---

[123] ἀνόνητον V^{pc} : ἀνόητον V^{ac} ras. post ἀνόνητον V
[124] καὐτὸς ἐγὼ...θαυμάζεται V^{mg}

καὶ ἡρωικῷ μικράν τινα καὶ νηπιώδη πανοπλίαν ἐπιτιθείς, ὡς ὄντως γε ἀλλήλων εἰσὶν ἄξιοι, ἡ πόλις τε τοῦ[125] τοσούτου καὶ τῆς τοσαύτης αὐτὸς πόλεως (καὶ περὶ αὐτῶν οὐκ ἔστιν ἀξίως ὁτῳοῦν λέγειν) καὶ χωροῦντες αὐτοὶ τὴν ἀλλήλων μεγαλοφυΐαν τε καὶ μεγαλοδοξίαν καὶ ἀλλήλων ταύτην ἀντιλαμβάνοντες καὶ ἀντιτιμώμενοι καὶ ἀλλήλων ἔκπλεω καὶ ἱκανοὶ γιγνόμενοι· καὶ τοῦτο μάλιστα κοινὸν καὶ[126] ἀλλήλων ἔχουσιν ἄξιον πᾶσιν, ἀόριστοι παντάπασίν εἰσι συλλαβεῖν τε νῷ τὰ κατ᾽ αὐτοὺς μεγέθη καὶ θαύματα καὶ λόγῳ διεξιέναι καὶ ἀνύτειν ὁ,τιοῦν. Ἀλλὰ τοίνυν ὅμως, ἐπεὶ περὶ τῆς πόλεως διεξιόντα μὴ κἀκείνου μεμνῆσθαι καὶ τὰς ἐντεῦθεν μεγίστας τῶν ἐγκωμίων συνεισφέρειν ἀφορμάς, ὥσπερ εὐγενέσιν ἀπογόνοις πατέρων ἀνδραγαθήματα, παντάπασιν ἠλίθιον ἂν εἴη καὶ μὴ πάνυ τοι ξυνιέντος τὰ βέλτιστα καὶ ἃ μάλιστα καιρὸν ἔχει περὶ ὧν σπουδάζει, φέρε δὴ τὰς ἀρχάς, ὡς ἔφην, καθάπερ ἐν θεμελίοις ἤδη τῆς πόλεως ὑποτιθέμενοι λέγωμεν[127] περὶ τῶν ἐκείνου τοῦτο προειπόντες, ὅτι τὸ μὲν παραδραμεῖν οὐκ ἀμαθίας μόνης τῆς ἐσχάτης, ὡς ἔλεγον[128], καὶ πάντων ἀβελτερώτατον ἀλλ᾽, ἔμβραχύ γ᾽ ἐρεῖν, καὶ παντὸς μᾶλλον ἀδύνατον, τὸ δὲ μεμνῆσθαι καθάπαξ ἀναγκαῖον - οὐκ οἶδ᾽ ὡς εἴ τι καὶ ἄλλο -, ὅτε δὴ τὴν παροῦσαν ὑπόθεσιν ἐνεστησάμεθα, ἀναγκαῖον δὲ μάλιστ᾽ ὂν τὴν συγγνώμην ἔχειν[129] λαμπρὰν αὐτίκα, εἴ τις περὶ τὰ δίκαια μέν, ἀδύνατα δὲ τυχεῖν, ἀδύνατα δ᾽ ὅμως παρελθεῖν ἔπειθ᾽ ἑαυτὸν δίδωσι. Τὸ μὲν γὰρ μὴ τυχεῖν ἐξεῖναι λέγοντά τε καὶ παντὸς[130] δὴ μᾶλλον πράττοντα πάλαι πρότερον εἴρηταί τε καὶ προείληπται· καὶ οὐδεὶς ἐνταῦθα θρασὺς κατὰ τῶν ἀδυνάτων αἰτιᾶσθαι

---

[125] τοῦ V^{sl}
[126] καὶ V^{sl}
[127] λέγομεν V
[128] ras. post ἔλεγον V
[129] ἔχει V
[130] πάντα V

καὶ <....>[131] (f.252[r]) καὶ ταῦτα πάντα τάχιστα κατὰ Θεὸν περαίνοντα καὶ μεθ' ὅ,τι πλείστης τῆς ῥαστώνης καὶ ὅσης οὐχ οἷόν τ' ἦν ὑπολογίσασθαι πρίν.

33. Τίνος τὰ τοσαῦτα τρόπαια καὶ οὕτω περιφανῆ πλεῖν ἢ πρότερον ἀεὶ τῶν μεγαλοδόξων ὁτῳοῦν ἐκείνων ἐξαρχῆς πάλαι κατ' ἐχθρῶν ἁπάντων οὐκ αὐτοῦ μᾶλλον ἢ καὶ τοῦ Θεοῦ καὶ τῆς πίστεως, ὡς ἄρα καὶ ταῦτα μᾶλλον ἐκίνει τὸν ἄνδρα καὶ ὁ περὶ τῶν καλλίστων αὐτῷ ζῆλος τὴν καρδίαν ἔφλεγε; Τίνος αἱ θεοσημίαι καὶ τὰ κατ' οὐρανὸν θαύματα καὶ ὁ φοβερὸς ἐκεῖθεν ὁπλισμὸς καὶ ἡ ἀήττητος ἄνωθεν παρασκευὴ καὶ πομπεύουσα συμμαχία καὶ προπέμπουσα, ἤ, μᾶλλον εἰπεῖν, τὰ περιφανῆ καὶ κάλλιστα προγράμματα τῆς νίκης ἐν ἀπόπτῳ μάλιστα τοῦ μεγίστου θεάτρου τοῦ κόσμου παντὸς ἄνω κατ' οὐρανὸν λάμποντα καὶ κηρύγματα, ὡς ἀληθῶς, ὑψηλὰ καὶ μέγιστα τῆς νίκης ἀπ' οὐρανοῦ πρὸς ἅπαντας ἀνθρώπους βροντῶντα; Ὢ τοῦ θαύματος καὶ πρὸ τῆς νίκης αὐτῆς! Ὢ τοῦ θαύματος καὶ πρὸ τῶν ἀγώνων αὐτῶν! Ὢ κάλλιστος μὲν ἐκεῖνος ἡγουμένῃ τοιαύτῃ στρατηγίᾳ θαῤῥῶν ἑπόμενος καὶ τὴν χεῖρα διδοὺς ὑπηρέτιν, σοφώτατος δὲ περὶ τῶν βελτίστων καὶ συνοισόντων, θαυμαστὸς δὲ καὶ τίμιος ὑπερβαλλόντως ἢ κινούμενος ὑπὸ Θεοῦ καὶ στρατηγούμενος ἀπραγμόνως ἢ Θεῷ πειθόμενος εὖ μάλα ταχὺς καὶ ῥᾷστα καὶ σφόδρα εὔελπις περὶ τῶν ἀδήλων, μᾶλλον δ', ὡς ἀληθῶς, δυσελπίστων καὶ ἀλογίστων τέως ἀνύσαι! Ὢ θαυμαστῆς μάλιστα καὶ φιλανθρώπου καὶ τῆς αὐτῶν ἀγούσης προνοίας οὕτω τιμώσης μόνον ἐκεῖνον, ἐκλόγιμον τῶν ἄλλων ἁπάντων, κατ' ἐκεῖνο τοῦ καιροῦ, μᾶλλον δὲ καὶ κατὰ πᾶν[132] ὁμοῦ τοῦ καιροῦ καὶ πρότερόν τε καὶ ὕστερον μόνον τῶν ἁπάντων ἐκεῖνον λειτουργῆσαι τῇ παῤῥησίᾳ τῆς πίστεως, τὸν μόνον, ὡς ἔοικεν, ἱκανὸν εἰς τοὔργον καὶ τὴν ἀποστολικὴν

[131] hic deest unum folium (circa 520 verba desunt) V
[132] παντὸς fortasse potius

προθυμίαν ἐπὶ τοῦ βασιλικοῦ πλάτους (f.252^{v})καὶ κράτους διαρκῶς καὶ κατὰ λόγον ἀξίως μέλλοντα δοῦναι καὶ τῷ δόγματι τῆς ἀληθείας αὐτοκρατορικὴν τηνικαῦτα μάλιστα δοῦναι κατὰ τῆς οἰκουμένης τὴν πῆξιν καὶ σοφὸν μὲν τὸν λογισμὸν τοῦτον προστησάμενον καί, ὡς δοκεῖν, ἐπὶ τῆς ἀρχῆς ἀνύσιμον, ἐπικινδυνώτατον δὲ μάλιστα, ὅστις τοσοῦτον ἤλπισε πρᾶγμα, μεταθέσθαι πάντων ἀνθρώπων προλήψεις εἰς τὸ δοκοῦν καὶ σαλεῦσαι δόγμαθ' ἑστῶτα καὶ νόμιμα χρόνια βέβαια καὶ πίστιν ἡλικιῶτιν τῆς ἀρχῆς, μᾶλλον δ', ὡς εἰπεῖν, τῆς ἀνθρωπίνης φύσεως, καὶ τοσοῦτ' ἔργον ἐλπίσας οὐκ ἄπρακτον ἀλλ' ἀνύσιμον!

34. Ὦ θαυμαστοῦ τοῦ φρονήματος! Αὐτίκα μάλ' ἐπιβαλόμενος[133] ἔπειτ' ἤνυσεν εὖ ῥᾷστα τοῦθ' ὑπὲρ πᾶσαν ἐν πράξεσι καρτερίαν, τοῦθ' ὑπὲρ πᾶσαν ἄλλην αὐτοῦ τόλμαν ἐν τοῖς φοβεροῖς πολέμοις τε καὶ κινδύνοις, τοῦθ' ὑπὲρ ἅπαντ' ἐκεῖνα θαυμαστὰ τρόπαια καὶ ἀριστείας, τοῦθ' ὑπὲρ ἅπαντας ἐκείνους Μαξεντίους τε καὶ Μαξιμίνους καὶ Λικινίους, ἁλιτηρίους τῆς ἀρχῆς τῆς τοῦ Θεοῦ καὶ τῆς πίστεως, περιφανῶς τε καὶ κατακράτος πίπτοντας. Οὓς ἀπόνοια μὲν καὶ ἀσέβεια καὶ ὕβρις καὶ θράσος ἀλόγιστον μετὰ δαιμόνων ἐκίνει καὶ ἡ κατὰ τοῦ καλοῦ καὶ τῆς χριστιανικῆς ἡμῶν θεοσεβείας ὥπλιζεν ἀναίδεια καὶ ἀνίστη τὰς ὁρμὰς ἀσχέτους καὶ ἀηττήτους τέως δοκούσας[134], ἡ δ' ἐκείνου περὶ τὸν Χριστὸν ὁλοσχερὴς νεῦσις καὶ πίστις ἄσειστος, μεθ' ἧς τὸ πᾶν ἐτόλμα καὶ τοῖς μεγίστοις ἐκείνοις κινδύνοις ἑαυτὸν ἑκὼν ἐδίδου πρόθυμος καὶ τὸ τοῦ στρατοῦ κράτος κακοὺς κακῶς ἐκείνους, ἐξώλεις τε καὶ προώλεις, κατερῥήγνυε καὶ παρεδίδου ταῖς ἐσχάταις καταφθοραῖς, μᾶλλον δὲ τοῦτ' ἦν, ἔοικεν, ὃ καὶ τούτοις ἐπιβάλλειν τὸν ἄνδρ' ἐκεῖνον καὶ μεγαλοψύχως συμπλέκεσθαι καὶ πρὸς τοὺς κινδύνους ἀποδύεσθαι καὶ κατορθοῦν εὖ μάλα καθίστη καὶ περαίνειν

---

[133] ἐπιβαλόμενος V^{pc} : ἐπιβαλλόμενος V^{ac}
[134] δοκοῦντας V

ἅπαντα ῥᾷστα καὶ ὡς ἄρα καθ' αἵρεσιν ἢ κατ' εὐχὴν μάλιστα[135] (f.253^{r})προὐτίθετο. Εἰ δὲ μή, τίνος ἄλλου τῶν ἁπάντων τοσαῦτα καὶ παραπλήσια ἢ τούτων ἔγγιστα μετ' ἄλλης παρασκευῆς ἁπάσης καὶ κατὰ χεῖρα καὶ κατὰ γνώμην; Καὶ τὴν καινότητα πάντως ἐκείνων τῶν πραγμάτων ἐπισημαίνεσθαι δέον[136] εἶναι, τὰ μὲν τῶν περὶ Θεοῦ καὶ τῶν θείων λογισμῶν καὶ τῆς αἱρέσεως, μεθ' ἧς ἑτόλμα τὰς πράξεις, τὰ δὲ τῶν τοσούτων ἀριστευμάτων καὶ τῆς περιφανείας τῶν ἔργων, ὡς ἄρα ἐκεῖθεν αὐτοῖς[137] τὰ λαμπρὰ τέλη καὶ τὰ μέγιστα τέως καὶ ἀήθη τῶν κατὰ γνώμην ἐγχειρημάτων τῶν οὕτως ἀήθων τε καὶ μεγίστων αὐτῶν ἀποτελευτήσεων ἐν τοῖς πράγμασι καὶ ἅμα τοσούτων αἰτιᾶσθαι δίκαιον ἂν εἴη καὶ τἀνύσιμον οὕτω ῥαδίως ἐκεῖθεν ἀσφαλῶς τεκμηριοῦσθαι ὡς τῆς ἀρχῆς ἀμέλει τὰς ἀποβάσεις ἀξίας οὔσας καὶ οὐδὲν ἄλλ' ἢ ταῦτ' ἀκολουθεῖν ἀναγκαῖον ὄν, εἴ τις προσέχων εὖ μάλα τὸν νοῦν λογίζοιτο: "καὶ ταῦτα πράγματ' ἐκείνων ὤνια καὶ τῶν πόνων οἱ καρποὶ καὶ τῶν καταβληθέντων σπερμάτων ἀμητοί"· καὶ ἡ παροιμία γὰρ πιστή· ἃ τίθης, φησί, φέρεις· καὶ αὖ, οἷς ἀνέμοις θαῤῥεῖ τις, πλέειν διδόασιν[138] ὡς ἄρ' ἐκ τῶν φορῶν ἀνέμων τὴν εὔπλοιαν ἑπομένην καὶ τοὺς ἀκινδύνους λιμένας· καὶ δὴ κἀνταῦθα λογίζεσθαί τις οὕτω δικαίως ἂν ἀξιοίη καὶ τῶν καλλίστων ἐκείνων περὶ τῆς εἰς Θεὸν εὐσεβείας θέσεων εἴτ' οὖν ὑποθέσεων καὶ τῆς ἀρχῆς εἶναι τὰς καλλίστας ἐκείνας ἔπειθ' ὕστερον φορὰς καὶ τῶν δραστικῶν ἀνέμων ἐκείνων καὶ ὄντως ἐργατικῶν, μεθ' ὧν, ὡς ἀληθῶς, μεγάλων ἐκεῖνος πελαγῶν κατετόλμα, τῶν ὑπερφυῶν ἐκείνων, ὡς εἰπεῖν, πράξεων, καὶ θερμὸν ἔπνει κατὰ τῶν ἀντιπάλων ἑαυτοῦ, μᾶλλον δὲ τοῦ καλοῦ, τὸ κάλλιστ' εὐπλοῆσαι καὶ τυχεῖν τοῦ παντὸς σκοποῦ καὶ τέλους τῶν ἐγχειρήσεων, πάντων ἀπαθῆ χειμώνων καὶ παντὸς

[135] μάλιστα ἢ κατ' εὐχὴν primum scripsit deinde letteris β α suprascriptis ordinem invertit V
[136] δεῖν V
[137] αὐτοῖς V^{pc} : αὐτῆς V^{ac}

(f.253^{v})ἄσειστον κλύδωνος, τῶν ἀσφαλεστάτων λιμένων λαβόμενον καὶ τοῦ λοιποῦ πάντων ἔξω πραγμάτων ἑστῶτα καὶ τὴν ἀρχὴν αὐτὴν πηγνύμενον κάλλιστα μὲν τῇ πάσῃ σπουδῇ καὶ προθέσει, κάλλιστα δ' αὐτῷ καὶ κοσμίως, κάλλιστα δὲ καὶ κοσμίως τοῖς ἀρχομένοις.

35. Καίτοι τί λέγω; Εἰ μὲν γὰρ τῆς ἐκείνου μόνης χειρὸς καὶ τῆς μεγαλονοίας καὶ τοῦ φρονήματος ἀξιοίη τις τοσοῦτον ἀμέλει βάρος πραγμάτων ῥᾷστα λογισμοῖς ἄρασθαι καὶ τολμῆσαι καρτερώτατα καὶ καθάπαξ ἀτρέπτως ἐλπίσαι καὶ λοιπὸν ἔπειτ' ἀνύσαι τοῖς ἔργοις ἐπιβαλόμενον αὐτίκα μάλα μεγαλουργικῶς οὕτω καὶ θαυμασίως καὶ κρεῖττον ἢ κατ' ἐλπίδας εὖ θέσθαι καὶ μεταχειρίσαι καὶ καταπράξασθαι καὶ χειρώσασθαι μὲν τοσούτους τοὺς ἀντιπάλους ἐπὶ τῆς ἀρχῆς κραταιότατα[139] δοκοῦντας ἑστάναι καὶ χρόνῳ καὶ κλήρῳ καὶ ψήφοις ἁπάσαις καὶ πᾶσι τρόποις καὶ τῇ δικαιώσει πάσῃ τῆς τύχης καὶ μάλιστα ταῖς ἀπ' αὐτοῦ[140] οἴκοθεν παρασκευαῖς ἀξίως τῆς τοσαύτης τύχης καὶ ὅλως τηλικαύτην ἡγεμονίαν πάντοθεν συγκατασκευάσαι καὶ χρόνοις παμπόλλοις[141] ἄσειστον κρατύνασθαι καὶ παραπέμψαι πρὸς ἀπογόνους ὡς ἄρα τι τῶν εὐώνων κτημάτων καὶ ῥᾳδίων καὶ μηδὲν ὁ,τιοῦν ἐργῶδες ἐχόντων καὶ κατὰ βούλησιν ἅπασαν διαθέσθαι, πάντων κατεπτηχότων καὶ πᾶσαν ἀπραγμοσύνην εἰς ταῦτα σφίσιν ἀξιούντων προσήκειν, οὐ τῶν ἔξωθεν μᾶλλον ἢ καὶ τῶν ἔσωθεν δυσνοϊκῶν καὶ κακούργων ἐφέδρων ἑκάστοτε καὶ τῶν χρόνων ἀεὶ θηρευτῶν καὶ τῆς ἀπίστου τύχης, οἷα[142] δὴ φιλεῖ τούτοις ὡς τὰ πολλὰ γίγνεσθαι, πῶς οὐ πάντων ἕνεκα θαυμάζειν ἐκεῖνος ἄξιος καὶ τῆς τύχης καὶ τῆς χειρὸς καὶ τῆς γνώμης καὶ μᾶλλον τῆς χειρὸς ἢ τῆς τύχης καὶ μᾶλλον τῆς

---

[138] δίδωσιν V
[139] κραταιώτατα V
[140] αὐτοῦ V^{pc} : αὐτῶν V^{ac}
[141] παμπόλοις V
[142] οἷα V

γνώμης ἢ τῆς χειρὸς καὶ τῆς εὐστόχου ψήφου καὶ τῆς ἀρχαιρεσίας τῶν λογισμῶν, ἀφ' ἧς εἰς τοὺς ἀγῶνας ὥρμητο, τἀσφαλέστατον, (f.254[r])ὡς ἔοικεν, αὐτὸ δόγμα καὶ πρὸς τὰς πράξεις ἐκείνας ἀνυσιμώτατον ὡς παντί που δῆλον ἐκ τοῦ τέλους τῶν ἔργων [τοῦ τέλους καὶ τῶν ἔργων][143] ἀξίως προστησάμενος, ὥσπερ ἂν εἴ τι σύνθημα καιριώτατον τῆς παρασκευῆς· Ὁποῖα γὰρ ἂν ᾖ τὰ φρονήματα, φησὶ Δημοσθένης, τοιαῦτα καὶ τὰ πράγματα γίνεται· καὶ πρὸς τὰς ἀρχάς, ἃς ἐκεῖνος ὑπέθετο, καὶ τοὺς γεννικοὺς λογισμοὺς ἀπήντησαν αἱ τελευτήσεις τῶν πράξεων.

36. Εἰ δὲ καὶ τοῦτο μὲν ἀλλὰ πολλῷ μᾶλλον τῆς καλλίστης ἐκείνης δοκιμασίας περὶ Θεοῦ καὶ τῶν θείων καὶ τῆς καθ' ἡμᾶς εὐσεβείας τοῦ Χριστοῦ ψηφίζοιτό τις καὶ τιθείη λογισμῷ σώφρονι μετ' ἀληθείας ἁπάσης, ἐμοὶ δοκεῖν, καὶ πάνυ τοι προσέχων εὐφυῶς τὸν νοῦν τοῖς πράγμασι, τὸν δρόμον ἐκεῖνον τῶν μεγίστων ἔργων καὶ τὴν εὐκολίαν καὶ τὴν τοσαύτην ἐκείνην εὐπραγίαν, τὴν ἀσφαλεστάτην ἅμα τε καὶ παμμήκη, καὶ ὧν οὐκ ἔστιν ἰδεῖν ἑτεράττα παραπλήσια χρόνῳ πάλαι πρότερον καὶ μεθύστερον οὔπω καὶ νῦν, πῶς οὐ πάντα διὰ πάντων ἔτι θαυμαστὸς ἐκεῖνος καὶ σοφός - οὐκ οἶδ' ὡς εἴ τις καὶ ἄλλος - τὰ δέοντ' ἐν καιρῷ καὶ ὄντως ὑπερφυής τε καὶ ἀπαράμιλλος καί, ὡς ἔπος εἰπεῖν, ἔνθους τε ὅλος καὶ θεῖος καὶ τὰ θεῖά τε καὶ τἀνθρώπινα πράγματα πρῶτος καὶ μόνος ἐπόπτης παντέλειος καὶ μάλισθ' ὃ πλέον ἔτι θαυμάζειν ἄξιος, ὅτι καὶ ἄμφω ταῦθ' ὁμοῦ καὶ γνώμων ἔπειτα δραστικώτατος ἦ, μᾶλλον εἰπεῖν, ὡς ἄρα τι σκεῦος Θεῷ προσῆκον καὶ θεῖον ὄργανον, ὑπὸ Θεοῦ πάντα κινούμενος καὶ διοικούμενος καὶ ὄντως ἐκ τούτων ζηλωτὸς ὑπὲρ πάντας καὶ τίμιος; Καὶ ὃ Πύθων ἐκεῖνος ὁ Μακεδὼν ἔφη τὸν Θρᾷκα τύραννον κατεργασάμενος, ὡς ἄρα Θεὸς τὸ πᾶν ἔδρασε τὴν ἐκείνου χεῖρα δανεισάμενος,

[143] τοῦ τέλους καὶ τῶν ἔργων seclusi

τοῦτο καὶ αὐτὸς ὁ πάντα Θεῷ ταπεινούμενος· καὶ ἡμεῖς ἂν περὶ αὐτὸν λέγειν ἔχοιμεν, ὡς ἄρα τὰ πάντ᾽ ἐκεῖνα τοῦ ἀνδρὸς μεγαλουρ(f.254^{v})γήματα Θεὸς μὲν ἀληθῶς αὐτουργὸς ἦν, αὐτὸς δὲ Θεῷ τὴν χεῖρα πρὸς τὰς πράξεις ἔχρησεν ἤ, μᾶλλον ἐρεῖν, Θεοῦ χεὶρ αὐτὸς διάκονος γίγνεται πρὸς τὰ μέγιστα καὶ κάλλιστα καὶ θαυμασιώτατα τῶν κατὰ τὸν βίον τηνικαῦτα δὴ τῆς προνοίας ἔργων. Ἀλλ᾽ ἵνα μὴ πλεῖον ἔτι τρίβων μηκύνω καὶ ἴσως μὲν ἄκαιρα, ἴσως δ᾽ οὐ παντάπασιν, οὐδ᾽ ἔξω τοῦ καιροῦ καὶ τῆς χρείας, ἐκεῖνος τοίνυν ὁ τοσοῦτος μὲν ἐκ τῶν ἔργων, τοσοῦτος δὲ τὴν μεγίστην ἐκείνην ἡγεμονίαν καὶ τὴν τύχην καὶ τὴν ἀξίαν, τοιοῦτος δὲ μάλιστα τὴν ἅπασαν ἀρετὴν καὶ γνώμην καὶ πάνθ᾽, ὡς εἰπεῖν, θαυμάζειν ἄξιος καὶ κάλλιστός τε καὶ μέγιστος καὶ πάντα μεγίστοις πρέπων, ἔργον ὅ,τι μάλισθ᾽, ὡς ἔοικε, τῶν ἄρα τοσούτων εἰρημένων ἁπάντων καὶ τῆς αὐτοῦ λαμπρότητος καὶ ὅλως ἄξιον ἑαυτοῦ καταλιπεῖν ἔπειθ᾽ ὕστερον ἑλόμενος καὶ πάνυ τοι πλεῖστον ἐν τούτῳ σπουδάσας ὡς ἂν ἱκανὸν ἐσόμενον τῆς αὐτοῦ μεγαλοφυΐας, οὕτωσί πως εἰπεῖν, ἀνδριάντα τὴν πόλιν ἀνίστησι ταύτην τῆς ἀρχῆς ἐν ἀκμῇ καὶ τῶν ὅλων κατ᾽ αὐτὸν πραγμάτων.

37. Ἔξεστι δ᾽, οἶμαι, σκοπεῖν διελόμενον κατ᾽ ἀμφότερα· ἢ γὰρ μόνης ἐπιδείξεως ἔργον τοῦτ᾽ ἂν εἶναί τις ἀξιοίη καὶ βασιλικῆς λαμπρότητος ἐπιμέλειαν, ὡς ἄρα καὶ πολλοὶ τῶν ἄλλων φιλοτίμων καὶ περιφανῶν βασιλέων, (καὶ δὴ συλλογίσαιτ᾽ ἄν τις ὅση τις ἂν τῷ τοσούτῳ προσήκοι καὶ τῆς ἐπ᾽ αὐτοῦ κλήσεως ἥτις ἀξία, κἀκ τούτου μόνον λογισμοῖς ὄψεται τοὔργον) ἢ χρείας ἠστινοσοῦν πρὸς τὴν τοσαύτην ἡγεμονίαν καὶ γνώμης τοῦ βελτίστου πᾶν τὸ γιγνόμενον τοῖς τῆς ἀρχῆς πράγμασι πάντοθεν ἀποδιδούσης καὶ διοικουμένης, ἢ καὶ ἀμφότερ᾽ ἴσως ὁμοῦ καὶ χάριτος πρὸς ἐπίδειξιν ἅμα τῇ χρείᾳ καὶ χρείας ἀμέλει δι᾽ ἐπιδείξεως τοσαύτης καὶ λαμπρότητος πρὸς τὸν σκοπὸν περαινούσης, ᾧ, καὶ μάλιστ᾽ ἔγωγε τίθεμαι (f.255^{r})καὶ οἶμαι, πᾶς ὅστις εὖ φρονῶν προσέχει

τὸν νοῦν εὖ μάλ' ἐνταῦθα, καὶ τοῖς λόγοις ἔχοιμεν ἂν τὰ φαινόμενα συμβαλεῖν· τὸ γὰρ ἔργον οἷον, πάσης ἄλλης ἐπιμελείας ἄλλων ἁπάντων διαφερόντως ἀνώτερον, ὅσοι τε πρότερον καὶ ὅσοι μετ' αὐτὴν ὕστερον προὔθεντο φιλοτιμίας τινὸς σπουδάσματα. Οὔκουν γέ ἐστιν οὔτ' αὐτὸ πρέπον ἄλλης τινὸς φιλοκαλίας τε καὶ μεγαλουργίας ἢ τῆς ἐκείνου οὐδ' ἄλλου τυχεῖν ἢ κείνου δημιουργοῦ, οὔτ' ἐκεῖνος ἀλλοῖόν τι καὶ μὴ κατ' αὐτὸ δίκαιος ἂν εἰς τὸν βίον προενεγκεῖν φορὰν ἀξιόλογον· καὶ τοίνυν ξυμβαίνει καὶ κάλλισθ' ἁρμόζειν ἀλλήλοις ὁ χρόνος ἔπραξεν. Ἀλλ', ὅπερ ἔλεγον, τὸ μὲν ἔργον τοσοῦτον μέγιστόν τε καὶ πάσης ἀρετῆς καὶ κάλλους, ὡς εὐθὺς μόνον ἰδεῖν, μηδὲν ἔτι, πολυπραγμονοῦντα περαιτέρω τοῦ μόνον ἰδεῖν· ἀλλ' ἔχει γέ τοι τοσοῦτο μάλιστ' ἐπικαίρως εἰς αὐτὴν τὴν ἡγεμονίαν, ὃ δὴ καὶ πρότερον φθάσαν εἴρηται, καὶ τοσοῦτό γε τὸ ἀπ' αὐτοῦ χρήσιμον τοῖς ὅλοις πράγμασι τῆς ἀρχῆς ὡς μόνης γε τῆς ἐκείνου μεγαλορρίας εἶναι καὶ βασιλικῆς ἐπιστήμης καὶ λογίσασθαι τοὖργον καὶ καταπράξασθαι καὶ μεγάλου καὶ νοῦ καὶ γλώττης δεῖν ἅμα μὲν συνιδεῖν ὡς ἔχει καθάπαξ καὶ κατοπτεῦσαι, ἅμα δὲ διεξελθεῖν καὶ τρανῶσαι τὸ πᾶν περὶ αὐτοῦ λέγοντα μὴ παντάπασιν ἔξω λόγου μὴ δ' ἀναξίως.

38. Φέρε δ' εἴπωμεν, ὡς οἷόν τε, καὶ ὅσα γε πρὸς ἡμῶν, ὡς ἔοικεν, ἀλλ' οὐ πρὸς αὐτοῦ· καὶ τοῦτο γὰρ ἦν ἐξαρχῆς ὁ λόγος, ὡς ἄρ' οὐχ ἡμῶν μόνον οὐκ ἔστιν ἀλλ' οὐδένων τυχεῖν τῆς ἀξίας, καὶ μετ' αὐτῆς ἄρα τῆς θέσεως ἐπεβάλομεν φέροντες ἄττα δὴ ταῦτα. Ὅτι μὲν οὖν ἐν τῷ καλλίστῳ τῆς οἰκουμένης καὶ γῆς ἅμα καὶ θαλάττης ὁ πολὺς ἐκεῖνος καὶ πάντα σοφὸς ἐκλέξας τὴν πόλιν ἵστησιν, ὀφθαλμοῖς τε δῆλα καὶ πεῖρα διδάσκει σαφῶς, ἤδη τε πρότερον εἴρηται καὶ πλείω λέγειν (f.255^{v})οὔτ' ἔχοιμεν ἂν ἴσως οὔτ', εἰ πάνυ πλείω καὶ λέγειν[144] ἔχοιμεν ἂν ἴσως, τῶν εἰκότων τύχοιμεν ἂν καὶ τοῦ πράγματος ἀξίων. Μάλιστα

δ' ἔξεστιν ὁρᾶν καὶ λογίζεσθαι ὅτι, καθάπερ ταῖς πόλεσιν αἱ ἀκροπόλεις ἔχουσιν ἐν τῷ πάνυ τοι χρησίμῳ θαῤῥεῖν παρέχουσαι καὶ πίστιν ἀσφαλείας, τοῦθ' ἥδε λαμπρῶς ἡ πόλις τῇ πάσῃ τῶν Ῥωμαίων ἐξαρχῆς ἡγεμονίᾳ, καὶ πρὸς τοῦτ' ἦν ὁ σκοπός, ὡς εἰπεῖν, τῷ δημιουργοῦντι, τῷ παντὶ καθόλου τῆς ἀρχῆς ἕδραν τιν' ἢ καὶ κορυφὴν ἀσφαλείας ἐν παντὶ καιρῷ τῆς τύχης καταστήσασθαι ἅμα τε τὸ καιριώτατον ἐπισκεψαμένῳ τοῦ τόπου καὶ ἅμα πάσῃ σπουδῇ προσχρησαμένῳ ἐπιμελείᾳ τε καὶ συντονίᾳ, πᾶν ἄρα τὸ δίκαιον περὶ τουτονὶ τὸν λογισμὸν ἀποδόντι, πάντα τρόπον πάντοθεν εὖ ἔχειν τοὔργον καὶ πρὸς τὸν σκοπὸν ἀνυσίμως· καὶ πάρεστι τοιγαροῦν ὁρᾶν ὅπως ἡ πόλις ἀμέλει πρὸς ἅπαντ' ἔχει τὰ μέρη τῆς ἀρχῆς καθ' ἕω τε καὶ δυσμὰς τοῦ ἡλίου καὶ τἆλλ' ἑκατέρωθεν κατὰ δὴ ταυτηνὶ τὴν πρόθεσιν ἱκανῶς καὶ ὡς οὐκ ἦν ἀλλαχοῦ τῆς γῆς παραπλησίως ἔχειν οὐδ' ἄλλου τινὸς εἶναι μεγέθους οὐδ' ἄλλης ἐπιτεχνήσεως καὶ κατασκευῆς πρὸς τὸν σκοπὸν ἐκεῖνον πεφυκέναι τε καὶ λόγον ἔχειν ἢ τοῦ τοσούτου κατὰ τήνδε τὴν πόλιν μεγέθους καὶ τῆς τοσαύτης ἐπιτηδεύσεως καὶ φιλοτεχνίας εἰς τὸ καρτερὸν καὶ μάλα ἐῤῥωμένον.

39. Διαλαβὼν γὰρ τῆς γῆς οὐκ ὀλίγον ἐκεῖνος τειχίζει τε κομιδῇ κραταιῶς, ὅσον οἷόν τ' ἦν, ἀσκήσας καὶ φροντίδα πᾶσαν τέχνης προστιθεὶς καὶ[145] καθίστησι τὴν μεγαλόπολιν ταύτην ἀδαμαντίνην, ὡς εἰπεῖν οὕτω, καὶ ὥσπερ ἀσάλευτον ἕρμα μεγάλης νεὼς τῇ ἀρχῇ[146] ὑποτίθησι βεβαίως δι' αὐτὴν εἶναι καὶ πάντα δεξιῶς, ἧ πέφυκεν, ἁρμόσας καὶ ὡς ἐνῆν κάλλιστα καὶ τὸ ῥωμαλέον αὐτῇ μετὰ τοῦ καλοῦ κοσμίως ὅπως διαπρέπει. Ὥστε θαυμάζειν μὲν αὐτὴν τοῦ μεγαλοφυοῦς, (f.256^{r})θαυμάζειν δὲ τὸν κατανενοηκότα καὶ σοφισάμενον, εἴ τις καλῶς προσέχει τὸν νοῦν, ὥσπερ ἐπὶ παρατάξεως

---

[144] ras. post λέγειν V
[145] καὶ V^{sl}

στρατοπέδου τὸ καιριώτατον προλαβόντα ἢ μᾶλλον ὥσπερ ἐπὶ παρατάξεως στρατοπέδου[147] ταύτην δὴ τὴν πόλιν ἐν μέσῳ τὸ κράτιστον καὶ εὐοπλότατον ἀποδείξαντα καὶ τὴν τῆς ἀσφαλείας, ἔοικε, πῆξιν τῇ πάσῃ παρασκευῇ, καθάπερ ἐπὶ τῶν πολεμικῶν ἔχει νομίμων· καὶ καρδίαν γε εἴ τις ἐρεῖ ταύτην, ὥσπερ ἑνὸς ζῴου, τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας, ἧς ἅπαντ᾽ ἔχεται μέρη καὶ ἧς ἅπαντ᾽ ἤρτηται καὶ πέφυκεν εἶναι καὶ ζῆν, οὐκ ἄν, ἔμοιγε δοκεῖν, ἔξω τοῦ καιροῦ χρήσαιτ᾽ ἂν εἰκονίζων[148], ὡς ἐντεῦθέν γε ὂν τῷ τε παντὶ τῆς ἀρχῆς ἄριστ᾽ ἔχειν καὶ ὅλως ἵστασθαι καὶ τὴν πόλιν οὖσαν τὴν μεγίστην καὶ πρώτην ἀφορμὴν καὶ τὸν θεμέλιον αὐτῇ τῆς οὐσίας τε καὶ μονῆς εἰς τὸν βίον· καὶ τοίνυν θαυμάσαι μὲν ἄν τις τὴν πόλιν, τό τε μέγεθος οἷον, ὡς ἄρα τοσοῦτο παμμηκέστατόν ἐστι καὶ ὑπὲρ ἁπάσας ἄλλας, ἔμβραχύ γ᾽ ἐρεῖν, πάλαι καὶ νῦν καὶ ὄντως ἀξιόλογόν τε καὶ ξύμμετρον πρὸς τὸν ὅλον σκοπὸν καὶ τὴν ἡγεμονίαν· καί, καθάπερ ἑκάστης χώρας τὸ κατ᾽ αὐτὴν ἔχει λοιπὸν καὶ πρὸ[149] αὐτῆς ἄστυ ὡς ἂν δὴ[150] ξυμμετρεῖσθαι πρὸς αὐτὴν καὶ ἰσοῦσθαι καὶ οὕτω διδόναι θαῤῥεῖν ἐφ᾽ ἑαυτῷ, ἅμα μὲν πρὸς χάριν, ὥστε καλλωπίζεσθαι καὶ κοσμεῖσθαι δι᾽ αὐτό, ἅμα δὲ καὶ πρὸς τὴν νόμιμον ἐν τούτοις ἅπασαν χρείαν, ὥστε κοινὸν αὐτὸ σύνδεσμον εἶναι τῆς χώρας καὶ βιώσεως εὐκολίαν καὶ καρτερίας καὶ θάῤῥους ἀφορμὴν ἐν παντὶ τῷ παραστάντι τοῦ καιροῦ δυσκόλῳ καὶ οὐδενός, ὅτου δεῆσαν, οὐκ ἀτευκτῆσαι, τοῦτο τὴν πόλιν εἶναι πρὸς τὴν τοσαύτην ἡγεμονίαν ἰσομέτρητον ὥσπερ χώρας ἄστυ μέγιστον μεγίστης καὶ καλλίστης κάλλιστον καὶ πάντα πεφυκὸς ἁρμόσθαι· καὶ οὐ τὴν ἡγεμονίαν αὐτὴν μόνην ἐστὶν ἐρεῖν ἐνταῦθα ἀλλ᾽, ὡς ἀληθῶς, καὶ τὴν ὅλην αὐτὴν οἰκουμένην (f.256^{v})ὡς ἀμέλει ξύμμετρος ἡ

---

[146] τῆς ἀρχῆς V
[147] τὸ καιριώτατον...στρατοπέδου V^{mg}
[148] εἰκόνι fortasse potius
[149] πρὸ V^{pc} : πρὸς V^{ac}
[150] δὴ V^{pc} : δεῖ V^{ac}

πόλις αὐτῇ, ὡς ἂν ἑκάσταις χώραις τὰ κατ᾽ αὐτὰς πολίσματα· καὶ τῆς οἰκουμένης ἡ πόλις· καὶ περὶ τὴν πόλιν ὡς αὕτη γε ἠτισοῦν[151] χώρα, περὶ ταύτην γε πόλιν ἠντιναοῦν ἡ πᾶσά γε[152] οἰκουμένη· καὶ ξυμβέβηκε γὰρ τηνικαῦτα σχεδὸν τὴν ἡγεμονίαν παραμετρεῖσθαι καὶ παραβάλλεσθαι πρὸς τὴν ὅλην οἰκουμένην καὶ τὸν λόγον οὐκ ἔξω παντάπασι τἀληθοῦς φέρειν ἡμῖν ὡς τὸν τῆς πόλεως δημιουργὸν ἐκεῖνον μεγαλοπρεπῶς τότε δὴ πρὸς τοῦθ᾽ ὁρῶντα καὶ μετὰ τοῦδε τοῦ σκοποῦ ταύτην ἱστῶντα.

40. Καὶ τοίνυν, ὅπερ ἔλεγον, θαυμάσαι μὲν ἄν τις τὴν πόλιν, οὐ τὸ μέγεθος μόνον τοσοῦτο καὶ πρὸς τὸν σκοπὸν ἀνάλογον ἀλλὰ καὶ τὴν ὅλην φύσιν καὶ δύναμιν, οἵαν τῷ παντὶ τῆς ἀρχῆς παρέχεται κομιδῇ μεθ᾽ ὅ,τι καλλίστης τῆς ἁρμονίας καὶ μουσικῆς ἀναλογίας, εἰ δὲ βούλεταί τις, γεωμετρικῆς, πᾶν τὸ εἰκὸς ἀποδιδούσης· μακαρίσαι δ᾽ ἄν τις αὐτὴν τοιούτῳ ξυλλαχοῦσαν οἰκιστῇ τε καὶ γνώμονι, γνώμονι μὲν οὖν περὶ τῶν ἀρίστων εὐγενῶς κατασκοποῦντί τε καὶ ψηφιζομένῳ, οὗ καὶ μόνον τὸ κλέος καὶ ἡ παμμήκης εὐδοξία τὸ μέγιστον, ὡς ἀληθῶς, εἰς κλέος καὶ δόξαν αὐτῇ· μακαρίσαι δ᾽ ἄν τις καὶ αὐτόν, οἶμαι, τὸν οἰκιστήν τε καὶ γνώμονα τῆς ψήφου ταύτης καὶ τῆς δημιουργίας ὡς ἄρα τοσούτου πράγματος ἐπιτυχῇ καὶ κοινωφελεστάτην τῷ παντὶ κόσμῳ τὴν φορὰν ταύτην καὶ τὸν ἔρανον ὥσπερ ἄλλος ἄλλο τι πρὸς τὸν βίον εἰσενεγκόντα· καὶ θαυμάσαι μὲν οὖν τις τὸν αὐτὸν τῆς σοφίας καὶ τῆς ἀρχιτεκτονικῆς ἐπιστήμης, ὡς οὕτως ἐρεῖν, κἀκ τούτου μόνον κατίδοι τις ἂν ἴσως τὸ τοῦ ἀνδρὸς διάφορον καὶ ὑπερφυὲς ἢ κατὰ τοὺς ἄλλους καὶ τέλειον· κἂν εἰ μηδὲν ἄλλο, μᾶλλον δὲ κἂν εἰ μὴ τοσαῦτα μεγαλουργήματα, γνώριμον αὐτὸν ἐποίει καὶ πᾶσι μεγαλώνυμον τοσοῦτο

---

[151] ἠτισοῦν V[sl]
[152] γε V[sl]

πρᾶγμα καὶ βαλόμενον εἰς νοῦν καὶ καταστοχήσαντα τῆς γνώμης ἄριστα καὶ τελεώτατα καὶ κατα(f.257^{r})πραξάμενον ῥᾷστα.

41. Φασί γέ τοι πλείστας μὲν ὅσας τῶν πόλεων εἰς τὴν αἵρεσιν προβληθῆναι τἀνδρὶ καὶ τὰς ψήφους ἅτε περὶ τοσούτου τοῦ σκοποῦ καὶ τοῦ πράγματος καὶ τὸν μέγαν ἐκεῖνον αὐτῷ λογισμὸν καὶ τὴν πρόθεσιν εἰς ἁπάσας γε δὴ τὰς ὅπῃ ποτ' ἂν καὶ πάντ' ἀρίστας αὐτὸν κινῆσαι, τὸν περὶ μεγίστων τὴν σκέψιν προθέμενον, τῆσδ' ἐκλογῆς τὴν ψῆφον καὶ τῆς κατὰ πασῶν ἐκείνων νίκης ἐκ πολλοῦ τοῦ περιόντος· ταύτην δὴ[153] λαβεῖν τὴν πόλιν καὶ μόνην αὐτὴν ἐκεῖνον ἐξαίρετον τῆς οἰκουμένης ἀνειπεῖν τε καὶ προβαλέσθαι[154] πρὸς τὴν ἄρα τοσαύτην τῶν λογισμῶν καὶ τῶν φροντίδων ὑπόθεσιν· καὶ τοῦτό γε οὐχ ἁπλῶς οὕτωσί, οὐδὲ τῆς αὐτοῦ μόνης μεγαλονοίας τε καὶ σοφίας τὸ πᾶν εἶναι πρὸς τὴν ἀξίωσιν καὶ τὴν δοκιμασίαν ταύτην, οὐδ' ὅσον ἐκ μόνων σκεμμάτων καὶ κρίσεων τοῦ μεγαλόφρονος ἐκείνου ἀλλ' ὅσον καὶ Θεὸν αὐτὸν ἄνωθεν προσεπιψηφίζεσθαι καὶ τὴν αἵρεσιν κυροῦν, φασί, κινοῦντα σημείοις, οἵστισιν ἄρα παντάπασιν ἐκφανέσι τε καὶ δήλοις, τὸν ὑπ' αὐτοῦ πάντα κινούμενον καὶ πάντα κάλλιστα καὶ τῶν προτεθειμένων σπουδασμάτων ἀξίως· καὶ τοῖς φθάσασιν ἤδη καὶ προλαβοῦσι τὸ πιστὸν τῇδε νῦν ἀναμφήριστον εἵπετο καὶ τὰς ἀρχαιρεσίας θείας καὶ Θεοῦ βουλὴν καὶ Θεοῦ τεράστια τοὺς θεμελίους ὑποθεῖναι τῇ πόλει εἰσὶν οἵ φασιν· καὶ οὐδὲν ἔξω, φασί, τῶν εἰκότων οὐδ' ἀλλότριον τῆς περὶ τῶν μεγίστων πραγμάτων τοῦ Θεοῦ προνοίας οὐδὲ μὴν τῆς τοῦ ἀνδρὸς ἐκείνου προνοίας καὶ τιμῆς, ἧς ἐξαρχῆς ἐτίμα τε καὶ προὐνοεῖτο μεγαλύνων αὐτὸν Θεός, εἰς ὅσον οἷόν τ' ἦν, θαύμασιν. Ἦν μέν γε τὸ μέγιστον αὐτῷ τηνικαῦτα τῶν ἔργων ἡ σκέψις, τὸ προκείμενον, ἦν μέν γε οὐ περί τινος

---

[153] δὴ V^{pc} : δεῖ V^{ac}
[154] προβαλέσθαι V^{pc} : προβαλλέσθαι V^{ac}

ὀλίγου οὐδ' ἀπ' ὀλίγων τινῶν τὸ βούλευμα καὶ ἡ κρίσις, ἀλλ' ὅσον ἐκ Βρεττανίας ἐκεῖθεν τῆς πρώτης καὶ μεγίστης νήσου τὸ πᾶν τῆς Εὐρώπης, κἀκεῖθεν αὖθις κἀκ τῶν (f.257^{v})στενῶν Γαδείρων ὅσον τῆς Λιβύης τὸ πᾶν καὶ τῆς λοιπῆς καὶ τρίτης τῶν ἠπείρων Ἀσίας αὐτῆς ὑπὲρ Εὐφράτην καὶ τὴν εὐδαιμονίαν Ἀράβων[155].

42. Τοῦτό γ' ἦν τῆς ἀρχῆς τότε τὸ μέγεθος καὶ τῆς σκέψεως ἦν τότε τὸ μέγεθος οἵαν προσήκει νικᾶν καὶ ὅποι ποτ' ἂν δέοι τὴν πόλιν οἰκίζειν τῶν ἐπὶ τοσούτου τοσούτων καὶ ὅποι ποτ' ἂν εἴη τὸ καιριώτατον τῆς ἀρχῆς μᾶλλον ἢ τῆς γῆς ἀνύτειν λοιπὸν πρὸς τὴν μεγίστην ἐκείνην καὶ θαυμαστὴν καὶ ἀξιολογωτάτην πρόθεσιν καὶ τοῦ τοσούτου μήκους τὴν πόλιν ἀνιστᾶν ἐξ ἀπόπτου πρὸς πάντας ἀνθρώπους· καὶ τοσοῦτο παμμήκης ἦν ὁ δρόμος πρὸς τὸν δίαυλον ἐκείνων τῶν βουλευμάτων καὶ σκοπός· ἀπὸ τοσούτου λοιπὸν ἐπέραινεν ἡ πόλις, ἢ μᾶλλον, ὥσπερ ἐπὶ μεγίστου τοῦδε τοῦ θεάτρου προκειμένων τῶν ἄθλων ἀπὸ πολλῶν τῶν ἀνταγωνιστῶν, αὕτη περιφανῶς ἐνίκα καὶ ἀνηγορεύετο τῶν πρωτείων τὰς ψήφους· καὶ Βυζάντιον μὲν ἦν ἐξ ἀρχῆς περιφανὴς[156] ἡ πόλις καὶ πολλοῦ τινος ὀνόματος καὶ παλαιοῦ τοῖς Ἕλλησι καὶ μεγίστου, μείζονος δὲ τηνικαῦτα τῆς τύχης ἀξία κρίνεται λανθάνουσα τέως, ἡνίκα τῶν καιρῶν ἔτυχε· μᾶλλον δ', ὥσπερ ἐπὶ τῶν σωμάτων καὶ πάντων ἔχει τῶν ζῴων καὶ τῶν φυτῶν ἐκ μικροῦ τινος τὴν ἀρχὴν τοῦ μέτρου καὶ τοῦ μήκους εἰς αὐτὸ τελευτᾶν, τὸ σφίσιν ἑκάστοις δίκαιον, οὕτω δὴ καὶ ἡ πόλις ἔοικεν αὕτη προελθεῖν κατὰ τὴν τάξιν καὶ τὴν προχώρησιν τῆς φύσεως ἐκ μικροῦ τινος τὴν ἀρχὴν εἰς τὸ μέγιστον κἀκ τοῦ προσήκοντος τῇ ἀρχῇ πρὸς τὸ προσῆκον τῷ τέλει καὶ τὸ γιγνόμενον τῆς φύσεως καὶ τῆς τύχης,

---

[155] Ἀῤῥάβων V

[156] περιφανὴς V^{pc} : περιφανῶς V^{ac}

ὡς εἰπεῖν· καί, ὥσπερ τἆλλα ὅσον ἑκάστῳ καθ' αὐτὸ τῶν ὄντων, οὕτω καὶ αὕτη λοιπὸν τὴν δικαίωσιν τῆς οὐσίας ἀπολαμβάνει μετ' αὐτῶν τῶν νομίμων χρόνων· καὶ οὐ μένει κάτω τοῖς ὑψηλοῖς καὶ μεγίστοις καὶ ὑπεράνω πάντων προσήκουσα καθ' ὁδὸν (f.258[r])ἰοῦσα καὶ μετασκευαζομένη πρὸς τὸ βέλτιον καί, καθάπερ ἐφ' ἑορτῆς τινος, τῷ παντὶ βίῳ χρωμένη καὶ φαιδρυνομένη καὶ πανηγυρίζουσα τῶν προσόντων καὶ τῇ φορᾷ διδοῦσα τῆς τύχης καὶ τοῦ κάλλους ἐπιδεικνυμένη, καθ' ὅσον οἷόν τ' ἦν, μέχρις οὗ τυχοῦσα τοῦ τέλους. Ἔπειτα καλλίστη τε καὶ μεγίστη καταπαύει λοιπὸν πρὸς ἄκραν, φησὶν ἡ παροιμία, κορυφήν, ἅτ' οὐκέτ' ὂν περαιτέρω.

43. Παλαιὸν μὲν οὖν, ἔφη, ἡ πόλις ὄνομα καὶ πόῤῥω τῶν χρόνων ἄνωθεν ἦκον, εἰ δή τις καὶ ἄλλη, καὶ οὐκ ἔστιν ὅτε μὴ πολλοῦ τινος λόγου καὶ σπουδῆς ἀξιούμενον, ἐπὶ τῶν ἑλληνικῶν Βυζάντιοι, τἀρχαῖα Δωριεῖς, γένος τοῦ παντὸς ἑλληνικοῦ τὸ ἀρεϊκώτερον. Ἄλλου μὲν γὰρ ἄλλο τι τῶν ἑλληνικῶν ἐθνῶν, Δωριεῖς δὲ ἐδόκουν τὸ ἐξαρχῆς ἠῤῥενῶσθαι παρ' οὐστινασοῦν, καὶ τοῦτο μὲν Δωριέων ὁπλιτικὸν τῶν πάντων Ἑλλήνων τὸ ἀκμαιότερον, τοῦτο δὲ μόνῃ τὸν δώρειον τρόπον αὐστηρά τε καὶ σεμνότητος ἁπάσης μεστά, τοῦτο δ', ἔμβραχύ γ' ἐρεῖν, ἀνδρῶν ἔργα, τὰ πάντα Δωριέων ἔργα· καὶ Πελοποννήσου μὲν τὸ κράτιστόν τε καὶ πλεῖστον Δωριεῖς κατέσχον περιφανῶς ὑπὲρ τοὺς ἄλλους ἀκούοντες ταύτῃ πάντας, καθ' Ἑλλήσποντόν τε οὐχήκιστα καὶ τῆς Ἀσίας, ὅποι ποτ' ᾤκουν, καὶ πόλεών γε μὴν Ἑλληνίδων τὰ κράτιστα τοῦ δωρικοῦ καὶ αὗται· τὰ μὲν κατὰ γῆν Λακεδαιμόνιοί τε καὶ Σπάρτη τῶν ἁπάντων ἡγεμόνες καὶ πρωτεύοντες ἐν ταῖς μάχαις καὶ διάσημοι τῶν ὁποιωνοῦν ξυντυχόντων ἐκλόγιμοι, ὡς ταὐτὸν δύνασθαι Σπαρτιάτην ἄνδρα Δωριέα ὅπῃ ποτ' ἂν ἕνα ξυλλαχόντα παρασκευαῖς ἑλληνικαῖς ὅσον καὶ στρατηγόν, καὶ τοῦτο παλαιὸς λόγος, τὰ δὲ καὶ μάλ' αὖθις κατὰ θάλατταν

Βυζάντιοί τε καὶ Ῥόδιοι πλεῖστον κρατοῦντες ἐν θαλάττῃ τῶν πλείστων Ἑλλήνων· εἶχον μέν γε ἐν προβόλων ἀεὶ μοίρᾳ καὶ σκοπῶν τάξιν ἐν προμάχοις τοῦ παντὸς ἑλληνικοῦ Βυζάντιοι.

44. Καὶ μέγα ἦν ὅστις ἄρα φθάσοι κατασχὼν (f.258^{v})εἰς τὰς καθ' Ἑλλήνων ἐπιχειρήσεις τουτὶ τὸ πόλισμα· καὶ τὰ μὲν ἄλλ' ἐῶ, τεκμήριον δὲ τοῦθ' ἓν μέγιστον· καὶ Πέρσαι μὲν γὰρ κατεπαναστάντες πάσαις παρασκευαῖς τῆς Ἑλλάδος καὶ κινήσει μεγίστῃ ἢ καθ' ἃς ἁπάσας ἴσμεν ἐντεῦθεν ἄρχονται· καὶ στρατήγημα μέγιστον σφίσι[157] καὶ σπούδασμα πρὸς τὸν σκοπὸν ἀνυσιμώτατον φθάσαι προλαβόντας Βυζάντιον ἔπειτα καθίστασθαι τοιγαροῦν ἐντεῦθεν καὶ περαίνειν ἔχειν πρὸς τὴν ἐξαρχῆς πρόθεσιν, ὡς ἐντεῦθεν εὐεπιχειρητότερα ἐσόμενα μᾶλλον ἢ πάντοθεν ἄλλοθεν· καὶ μὴν ἀμέλει κακῶς πράξαντες τελευτῶντες τῆς ἐπιχειρήσεως καὶ τῆς Ἑλλάδος καὶ τῶν ἐλπίδων ἀτευκτήσαντες καὶ ἀποκρουσθέντες καὶ χαλεπῶς ἀπαλλάξαντες οἵδ' ἄρα καὶ οὕτω δὴ τῆς μεγίστης ἀξιοῦσι φροντίδος σφίσι Βυζάντιον αὐτοῖς ἔχεσθαι καὶ κρατύνασθαί γε μὴν μάλιστ', ἐφ' ὅσον οἷόν τ' ἦν, ὡς πολὺ φέρον τοῦτ' εἰς τὰς τοῦ μέλλοντος ἔπειτ' αὖθις ἐλπίδας καὶ κράτιστον ἐχέγγυον τῶν πρώτων ὁρμῶν καὶ τοῦ πόθου τῆς Ἑλλάδος καὶ μεγίστην ἀφορμὴν ἐσόμενον, ἣν οἷοί τε γένοιντο καὶ δέοι ἂν αὖθις πειρᾶσθαι καὶ κατεπιχειρεῖν τῶν ἑλληνικῶν πραγμάτων ἐντεῦθεν· καὶ οὐχ οἱ μὲν οὕτω, τοῖς δ' ἐναντίοις ἄλλως ἐδόκει, ἀλλ' Ἕλληνες καὶ αὐτοὶ μετὰ τῶν αὐτῶν, ἔοικε, λογισμῶν τοῦ παντὸς ἀγώνισμα μέγιστον καὶ ἀναγκαιότατον τίθενται, Πέρσας ἐξῶσαι Βυζαντίου καὶ τῇ συνεχείᾳ τῆς Ἑλλάδος ἄστυ τόδ' ἐπανασώσασθαι. Φίλιππος δὲ χρόνοις ὕστερον τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐν ἔρωτι σφοδρῷ γενόμενος καὶ πάντα κινήσας ἐπὶ τούτῳ πράγματα τὸν πλεῖστον χρόνον σφόδρα πονῶν εἶχε περὶ Βυζάντιον τὴν πόλιν ὑφ' ἑαυτῷ θέσθαι παντὶ

τῷ δυνατῷ τρόπῳ καὶ πάσαις μηχαναῖς ὡς τὸ καιριώτατόν γε τοῦτό οἱ μάλιστ' ὂν εἰς τὸν ἐκκάοντα πόθον ἐκεῖνον καὶ τὸν ἄτρεπτον[158] λογισμόν. Κἀν ταῖς ἄλλαις ἑξῆς ἡγεμονίαις καὶ Ῥωμαίων καὶ ὠντινωνοῦν πλεῖστος ἦν ὁ (f.259[r])λόγος ἀσφαλῶς ἔχειν σφίσι καὶ ἔχεσθαι Βυζαντίου[159]. Ἔδειξε δ' ἡ πρὸς τὸν αὐτοκράτορα Σευῆρον[160] ἀπόστασις τῆς πόλεως καὶ ἀντίστασις τοσαύτη καὶ πάλη μέχρι πολλοῦ, καὶ ταῦτα τὸ κράτος τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας ἀναμφήριστον ἔχοντ' ἤδη· καὶ πάντες γὰρ ὑποπεπτώκεσαν καὶ ἠξίουν πείθεσθαι παρορῶντες εἴ τι καὶ δίκαιον ἄλλο[161] πρότερον, καὶ τοῦ καιροῦ γιγνόμενοι καὶ οὐδεὶς ὅστις οὔ. Οἵδ' οὐκ ἠξίουν οὐδ'[162] ἀδικεῖν, οὐδ' ἀνομεῖν τὰ δόξαντα, οὐδ' ἀποχωρεῖν τῆς προτέρας γνώμης, οὐδ' ἀλογεῖν τῶν ὀφειλομένων πίστεων ἑκόντες ὄντες, οὐδὲ προδιδόναι τὰ κοινὰ τῶν ἀνθρώπων νόμιμα ῥᾷστα, ἀλλ' ἀντίσχειν γεννικῶς καὶ διακαρτερεῖν ἐπιπλεῖστον, ὅσον οἷόν τ' ἦν, μᾶλλον δέ, καὶ ἐφόσον οὐχ οἷόν τ' ἦν, τῶν ἀγαθῶν εἰς τέλος ἐχόμενοι λογισμῶν, οὐ μόνον, ὡς ἔοικεν, εὐγενείᾳ πεποιθότες καὶ φρονήματι τῷ κατὰ σφᾶς ἀλλὰ καὶ τῷ[163] καιρίῳ τῆς χώρας, ἐμοὶ δοκεῖν, καὶ τῇ παρὰ τῆς φύσεως συμμαχίᾳ τοῦ τόπου πρὸς τοσαύτην τόλμαν ἀτρέπτως· καὶ τί ἂν ἔχοιμεν ἔτι μηκύνειν ἐν τούτοις καὶ καταριθμεῖσθαι παραπλήσια συγγραφῆς μᾶλλον ἔργα; Μέγιστα μὲν ἀλλ' ἡμῖν ἀδύνατα συνελεῖν ἐνταῦθα καὶ προσθεῖναι πάνθ' ἑξῆς καὶ τῶν νῦν καιρῶν ἴσως ἔξω.

45. Ἀλλ' ὅπερ ἐξαρχῆς ἐβουλόμην, ἐπὶ ταύτης δὴ τῆς καλλίστης ἐπιλέξας, οὐκ ἐπ' ἐρήμης ἀλλὰ τῆς πάλαι πρότερον δοκιμασθείσης καὶ

---

157 σφίσι V[sl]
158 ἄτερπτον V
159 Βυζάντιον V
160 Σεβῆρον V
161 ἄλλο V[pc] : ἄλλῳ V[ac]
162 οὐκ V
163 καὶ τῷ V[sl]

συνεξετασθείσης τοῖς πράγμασι, τὴν μεγίστην ἀνίστησι ταύτην καὶ βασιλίδα πόλιν ὁ πολὺς ἐκεῖνος καὶ πάντα σοφὸς καὶ τῶν καλῶν ἁπάντων τεχνίτης καὶ πάντα Θεῷ κινούμενος· καὶ μὲν δὴ καὶ φασὶ πάντες λόγοι καὶ πάντες ἄνθρωποι τοῦτ᾽ ἄριστ᾽ ἔχειν καὶ τὸ πρᾶγμα πάνυ τοι κατὰ λόγον εἶναι καὶ λυσιτελεῖν ἐπὶ τῶν κοινῶν τοὺς ἐν ἥττοσι βελτίστους τε καὶ διαπρεπεῖς καὶ μάλιστ᾽ ἐπιδεδειγμένους καὶ τετυχηκότας (f.259^{v})ὧν ἂν δέοι τοῖς μείζοσι προσήκειν, καὶ προήκειν εὖ μάλα δικαίως ἐξ ἐκείνων εἰς ταῦτα, ἐξ ἀριστεύσαντος λοχαγοῦ ταξιαρχεῖν κἀκ τούτου βελτίστου στρατηγὸν[164] δείκνυσθαι τὴν τάξιν βελτίστην εἶναι καὶ πολὺ τὸ δίκαιον ἀμφοτέρωθεν τοῖς τε πράγμασιν αὐτοῖς προσήκειν τοὺς ἐπ᾽ αὐτοῖς καὶ σφίσιν αὖθις προσήκειν τὰ πράγματ᾽ αὐτὰ καὶ τὰς ἐπιτηδεύσεις καὶ τὸ πεφυκὸς τῆς ἁρμονίας ἑκατέρωθεν ἁπαντᾶν οὕτω καὶ συμβαίνειν εὖ. Εἰ δὲ μή, ἡ μὲν παροιμία φησίν, ἄλλο μὲν ἡ λύρα ἀπήτει, ἄλλο δ᾽ ὁ τεχνίτης ἐφθέγγετο καὶ ὑπήχει, μᾶλλον δ᾽ ἀπήχει καὶ τὸ πρᾶγμα παγγέλοιον εἶναι. Νυνὶ δ᾽ ἐν τούτοις πολλὴ μέν, ὡς ἀληθῶς, ἡ αἰσχύνη, ἀτὰρ πολὺ πλείων μάλισθ᾽ ἡ ζημία καὶ ὁ κίνδυνος ἐπὶ τῶν πραγμάτων αὐτῶν· τούτων μέν γε τῶν ἐγκλημάτων καὶ τῆς εὐθύνης ἢ τῆς αἰσχύνης ἢ τῆς ἐπὶ τῶν πραγμάτων ζημίας ἀνώτερος καὶ ὁ πολιστὴς καὶ ἡ πόλις ἐνταῦθα, ἡ μὲν τῇ μεγάλῃ πρέπουσα ταύτῃ ψήφῳ καὶ τὰ δίκαια καὶ κατὰ φύσιν λαμβάνουσα, μᾶλλον δ᾽ εἰπεῖν, ἀπολαμβάνουσα, καὶ τὸ εἰκὸς ἅπαν, ὁ δὲ τῶν βελτίστων ἀκριβὴς καὶ τέλειος ἐπιγνώμων, καὶ ἅμα μὲν ἐπιλεγόμενος καὶ δοκιμάζων ἄριστα καὶ ὡς οὐκ ἄρ᾽ ἦν βέλτιον, ἅμα δὲ καθιστῶν καὶ περαίνων εὖ μάλα ταχὺς τὰ δόξαντα, καὶ τῆς γνώμης ἐντελὴς αὐτουργὸς ἅπαν τὸ γιγνόμενον καὶ οὐκ ἀτευκτῶν ἔπειτα γέλωτα ὄφλων μὴ τοῖς προσήκουσιν ἄρα καὶ μὴ κατ᾽ αὐτὸν ἀμαθῶς ἐπιβαλλόμενος. Τοιγαροῦν ἀνιστᾷ μὲν οὕτω γνώμῃ κάλλιστ᾽ ἐπιτυχεῖ καὶ

[164] στρατηγὸς V

προθυμίᾳ τάχιστα καὶ χειρὶ πάσῃ ῥᾷστα τὰ μέγιστα καὶ κάλλιστα καὶ βουλόμενος καὶ δυνάμενος τὴν πάντα καὶ μεγίστην τε καὶ καλλίστην ταύτην πόλιν, οὐκ ἄλλο μὲν οὖν σκοπούμενος ἀλλ' ἐφ' ᾧ βασιλεύειν καὶ τῆς τοσαύτης ἀρχῆς αὐτὴν προΐστασθαι.

46. Καὶ ἡ πόλις λοιπὸν ἀλλάττει μὲν τὴν πρώτην ταπεινὴν τύχην καὶ πρόεισιν[165] καὶ μεταλαμβάνει οὐκ ἐξ ἀτίμων τέως ἐπίπαν (f.260^{r})ἀλλὰ καὶ αὐτῶν βελτίστων τὴν ἀμείνω πολλῷ καὶ βελτίω μὴ μόνον ἑαυτῆς ἀλλὰ καὶ πασῶν ἄλλων ὁμοῦ, μᾶλλον δὲ γεννᾶται νέα· καὶ πρόεισι θαυμαστή τε καὶ ὑπερφυὴς σχεδόν, τελευτήσασα μὲν τὰ πρῶτα καὶ παλαιὰ μετὰ τῶν εἰκότων, ὡς ἔοικε, χρόνων, γενομένη δὲ τὰ νέα καὶ μέγιστα μετὰ τῶν εἰκότων αὖθις χρόνων περιφανὴς αὐτίκα καὶ τελεία· καὶ προοίμια μὲν καὶ γένεσις οὕτω δὴ θαυμαστὴ καὶ βασιλικὴ τῇ πόλει καὶ σεμνὴ σεμνῶς ἐκ βασιλέως οὕτω μεγίστου καὶ πάντων ὀνομαστοτάτου καὶ διὰ πάντων τῶν μεγίστων καὶ τιμίων ἐπιφανοῦς καὶ γνωρίμου· γενέθλια δ' αὐτῇ καὶ κηρύγματα λαμπρὰ καὶ κάλλιστ' ἐξ αὐτῆς παραχρῆμα ἐπὶ τῆς οἰκουμένης ἀτεχνῶς ἁπάσης βασιλεύειν ἀντὶ πασῶν αὐτῇ τῶν πρώτων ἄλλων, τῶν τέως ὠνομασμένων καὶ περιβλέπτων καὶ τοῦ κράτους ἀξιουμένων ἐκ πολλοῦ τοῦ περιόντος καὶ πολλῶν τῶν ἰσχυόντων δικαίων, πρὶν αὐτὴν ὅμως γενέσθαι· τοῦ λοιποῦ γὰρ τῶν κρειττόνων αἰδὼς καὶ τὰ δεύτερα μεταλαγχάνειν φύσεως νόμος ἀλλὰ καὶ ταῦτα δὴ μεταλαγχάνειν ἐκείναις ταύταις ἐξῆς αὐτίκα, καὶ τοῦτο κομιδῇ ποθεινὸν καὶ σπουδῆς ἔργον. Τῇ γε μὴν πόλει ὁμοῦ μὲν ἡ γένεσις, ὁμοῦ δὲ τὸ βασιλεύειν, μᾶλλον δὲ διὰ τὸ βασιλεύειν ἡ γένεσις. Οὐ γὰρ ἄλλως, ἔφην, ἢ βασιλεύειν δημιουργεῖται καὶ τὰς ψήφους τῆς ἀρχῆς, πρὶν γενέσθαι, λαβοῦσα, γενομένη λοιπὸν ἔπειτα δείκνυται τῶν ψήφων ἀξίως. Οὐ γὰρ ταπεινῶς πρότερον πράττουσα κατὰ πολλὰς ἑτέρας ἢ τύχης

ἠστινοσοῦν ἢ πόνων πολλῶν ἔπειτα τὴν ἀρχὴν ἐκτήσατο, ἐξ ἰδιωτῶν εἰς αὐτοκρατορίαν ἀλλάξασα κατὰ τὰς ἄλλας ἢ δικαίως μὲν ἴσως, ἐρημίᾳ τῶν ἐπικλήρων, ἢ καὶ τύχης ἄλλως ἀκαιρίᾳ καὶ φορᾷ, ξυμβαῖνον οὕτωσὶ πολλάκις· οὐδὲ κλῆρον αὖθις οὕτω μέγιστον λαβοῦσα καὶ μεγίστοις πρέποντα ἔπειτ' αἴσχιστ' ἀπήντησεν εἰς αὐτὸν οὔθ', ὥστε μὴ πρέπειν δοκεῖν, ἐχρήσατο. Ἀλλὰ καὶ τῆς τύχης ὤφθη καὶ τῶν κλήρων ἀξία καί, πρὶν ἢ γενέσθαι, τὴν ἀρχὴν κληροῦται κατ' ἀξίαν ἔχειν (f.260^{v})καὶ βασιλεύει γεννηθεῖσα δικαίως αὐτίκα καὶ ἀπραγμόνως αἱρέσει τε τοῦ βελτίστου [πρὶν ἢ γενέσθαι][166] καὶ ψήφῳ θείᾳ μάλιστ', ἔοικε.

47. Δηλοῖ γὰρ ὅτι τῇ παῤῥησίᾳ καὶ τῷ κράτει Χριστοῦ καὶ τῇ[167] βασιλείᾳ τῆς θεοσεβείας καὶ δυναστείᾳ συμπροῆλθε καὶ τὰ τῆς πόλεως καὶ οὐ πρὶν ἄλλως εἰς γένεσιν ἧκει καὶ βασιλεύει, πρὶν τοὺς ἐπ' αὐτῇ βασιλεῖς Ῥωμαίων βασιλεύειν μετὰ Χριστοῦ· καὶ πρῶτος αὐτῆς καὶ πολιστὴς καὶ αὐτοκράτωρ, ὁ πρῶτος αὐτοκράτωρ μετὰ τῆς Χριστοῦ πίστεως καὶ πρῶτος ἀπὸ τῆς Χριστοῦ κλήσεως τῶν βασιλέων τιμώμενος καὶ ὁ μόνος αὐτὸς ἐκ βασιλέων ἀριθμούμενος ἐν ἁγίοις τοῦ πάντων βασιλέως Χριστοῦ Σωτῆρος καί, τὸ μεῖζον ἔτι, τοῖς αὐτοῦ κήρυξιν ἀποστόλοις συναριθμούμενός τε καὶ συντιμώμενος. Ὦ τῆς τοσαύτης εὐκλείας! Ὦ τῆς τοσαύτης τοῦ ἀνδρὸς μεγάλης ἐπωνυμίας καὶ λαμπρότητος, οἰκιστὴς αὐτῇ καὶ δομήτωρ· καὶ μὴν ἐκείνου μὲν ἡ κλῆσις καὶ ἐπ' ἐκείνου ἡ ἀπὸ Χριστοῦ, φημί, κλῆσις καὶ τὸ μέγα καὶ περιφανὲς ὄνομα καὶ ὑπὲρ πᾶν ὄνομα, ἐπ' ἐκείνου δὲ τῇ πόλει καὶ ἀπ' ἐκείνου τὸ μέγιστον ὄνομα· αὐτοῦ γὰρ αὕτη Κωνσταντίνου περιφανῶς ἀκούει καὶ αὐτοῦ Χριστοῦ διὰ Κωνσταντῖνον· καὶ γεννᾶται μὲν ἐκεῖνος διὰ Χριστοῦ καὶ καλεῖται περιδόξως

[165] verba καὶ πρόεισιν post μεταλαμβάνει scripta huc transposui
[166] πρὶν ἢ γενέσθαι seclusi

δι' αὐτοῦ, γίγνεται δ' ἡ πόλις διὰ Κωνσταντίνου καὶ πρόεισιν εἰς τὸν βίον λαμπρὰ λαμπρῶς καὶ δι' αὐτοῦ τοῦ πάντα καὶ ἀνθρώπινα καὶ θεῖα μεγαλωνύμου καλεῖταί τε καὶ κλεΐζεται πλεῖν ἢ κατὰ πάσας τὰς ἀπ' ἄλλας ἄλλων. Ὢ θαυμαστῶν αὐτῇ τῶν ὀνομαστηρίων τε καὶ γενεθλίων! Ὢ τῶν καλλίστων αὐτῇ τειχῶν, ὡς ἀληθῶς, ὑπ'[168] αὐτῶν χειρῶν ἐζωγραφημένων τῶν θείων! Ὢ τοῦ κρατίστου θεμελίου σφίσι, παρ' ὃν οὐκ ἔστι βαλεῖν ἕτερον, αὐτὸν δή, φημί, μετὰ τῆς μεγάλης τοῦ Παύλου φωνῆς, τὸν μόνον κραταιὸν καὶ μόνον δυνάστην νῦν! Ὢ τῶν περιφανῶν προοιμίων τῇ πόλει καὶ τῆς εἰς τὸν βίον προόδου καὶ (f.261[r])φανερώσεως μετὰ τῆς πρώτης εἰς τὸν βίον προόδου καὶ φανερώσεως τῆς πίστεως!

48. Ὢ πάντ' ἐκεῖνα ταύτῃ θαυμαστὰ καὶ κάλλιστα· ἅμα γεννᾶται καὶ βασιλεύει, μᾶλλον δ', ἐφῷ βασιλεύειν, γεννᾶται· καὶ βασιλεύειν αὐτίκ' ἄρχεται μετὰ τοῦ κράτους τοῦ Χριστοῦ καὶ τῆς βασιλείας τοῦ τὸν κόσμον νικήσαντος καὶ ἡλικιῶτίς ἐστιν ἡ πόλις τῇ βασιλείᾳ τῆς πίστεως· καὶ ἅμα μὲν ἡ πρώτη πῆξις τῆς εὐσεβείας, ἅμα δ' ἡ πῆξις αὐτῇ καὶ γένεσις παρὰ τοῦ πρώτου βασιλέως παῤῥησιασαμένου τὴν πίστιν ἐπὶ τῆς ἀρχῆς καὶ μετ' αὐτῆς οὐκ ἄλλως ἀξιοῦντος ἄρχειν καὶ ὅλως εἶναι καὶ ζῆν· καὶ ὁμοῦ μὲν ἡ πόλις ἱδρύετο δι' αὐτοῦ, ὁμοῦ δ' ἐπ' αὐτῆς αὐτίκα νεὼ καὶ ἱερὰ Χριστοῦ καὶ τελεταὶ καὶ μυστήρια θεῖα καὶ σπονδαὶ τῆς ἀναιμάκτου θυσίας· τοῦτο τῆς ἀνωτάτω καὶ πρώτης εὐπραγίας ἀφορμὴ τῇ πόλει, τοῦτο μέγιστον τῶν καλλίστων αὐτῇ καὶ[169] τῆς ἄκρας εὐδαιμονίας αἴσιον σύμβολον, τοῦθ' ὅλον αὐτὴν κτῆμα θεοσεβείας δείκνυσι, τοῦθ' ἱερὸν ὥσπερ ἄσυλον Θεοῦ καὶ τῆς πίστεως, τοῦθ' ὅλον ἀνειμένον ἐξ αὐτῆς αὐτίκα τῆς γενέσεως τῇ θείᾳ δεσποτείᾳ μόνῃ· καί, εἰ μέγα καὶ πάντων, ὡς

---

[167] τῇ V[sl]
[168] ἐπ' V

ἀληθῶς, εἰς δόξαν τῇ πόλει μέγιστον, ἢ πῶς γὰρ οὐ τὸ κατ᾽ αὐτὴν ἀνθῆσαι καὶ προελθεῖν εἰς τὸν βίον τὴν ἀκμὴν τῶν πραγμάτων καὶ τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας καί, ἡνίκα τῶν χρόνων μάλιστ᾽ ἐκράτει ἢ πρότερον ἀεὶ πολλῷ δὴ μεῖζον ὄντως καὶ μεγαλοδοξότερον, ἐπ᾽ αὐτῆς ἄρα τῆς ἀναδείξεως καὶ προόδου καὶ δυναστείας τῆς ἀληθείας τοῦ δόγματος τοῦ Χριστοῦ καὶ ταύτην συμπροελθεῖν καὶ καταστῆναι, οὐ μόνον, ὡς ἔοικε, βασίλεια τῆς ἀρχῆς καινὰ καινιζομένης ἀλλὰ καὶ τῆς θεοσεβείας αὐτῆς ἐντελῆ πρὸς τὴν χρείαν καὶ κατὰ λόγον εὖ μάλ᾽ ἡρμοσμένα, τῆς σπουδῆς ἄξια;

49. Καὶ γὰρ δὴ καθόλου γε[170] δοκεῖ καὶ ὁρῶμεν ἑκάστοτ᾽ ἐπὶ πάντων ἀνθρώπων ἐπὶ πάντων πραγμάτων ἱκανῶς καὶ πρὸς (f.261^{v})λόγον ἐπὶ ταῖς ἀγαθαῖς τύχαις ἅπαντας παραβάλλεσθαι καὶ λαμπρότερον ἐσκευάσθαι καὶ μετασκευάζειν ἑαυτοὺς καὶ χρῆσθαι βέλτιον ἢ τέως κατ᾽ ἔθος πρὸς τὴν ἐπιπεσοῦσαν εὐκαιρίαν καὶ τῇ τύχῃ λοιπὸν εὐγενῶς ἁπαντᾶν· καὶ τοῦτο μὲν οἰκίας ἀνιστάνειν ἐκ νέου πρὸς ὑποδοχήν, ὡς εἰπεῖν, τῆς ἀγαθῆς ταυτησὶ τύχης καὶ ὄντως ἑαυτῶν τε καὶ ταύτης ἀξίας, τοῦτο δὲ πᾶσι κόσμοις ἐναλλάττειν, τοῦτο δὲ πᾶσι τρόποις ἁβρότερον, καὶ δείκνυσθαι τῶν ὄντων διαρκῶς ἅμα μὲν ἡδομένους, ἅμα δ᾽ εὐγνωμονοῦντας τῇ νομῇ τῆς προνοίας· καὶ τὸ πρᾶγμα δὴ τηνικαῦτα παραπλησίως ἔχειν καὶ πρὸς τὴν μεγίστην ἐκείνην τῶν πραγμάτων τῆς ἀρχῆς καὶ τῆς εὐσεβείας εὐετηρίαν τῷ πάντ᾽ ἐκείνῳ θαυμαστῷ βασιλεῖ καὶ τῆς εὐσεβείας τοῦ Χριστοῦ τὴν ἐπίδειξιν ἐλλαμπρύνεσθαί οἱ πλεῖν ἢ κατὰ πᾶν ἔθος πρότερον καὶ καταπάντας ἄλλων ἄλλους κόσμους ἀμιλλωμένους, ὡς οἷόν τ᾽ ἦν, πρὸς τὴν ἑκάστοτε τῆς τύχης φοράν· καὶ δεινὸν γὰρ εἶναι τοῖς φθάσασι παραπλησίως χρῆσθαι καὶ πολλῆς ἀμαθίας τῶν ὁμοίων ἔχεσθαι βέλτιον

---

[169] καὶ iter. V
[170] δοκεῖ γε καθόλου primum scripsit deinde litteris β α suprascriptis ordinem invertit V

πράττοντας καὶ ἀποχρῆναι τοῖς αὐτοῖς ἀξιοῦν. Δοκεῖ δὲ καὶ τοῖς θαυμαστοῖς ἄρα καὶ ξένοις τῶν πραγμάτων καὶ πάνθ' ἑξῆς ἔπεσθαι θαυμαστὰ καὶ νέα καὶ τοῖς μεγίστοις ἀεὶ μέγιστα συμμεγεθύνεσθαι καί, ὥσπερ ἑνὸς ἀτόπου, φασί, δοθέντος, πλεῖστα παρέπεσθαι τῆς αὐτῆς φορᾶς καὶ τῶν καλλίστων, οἶμαι, καὶ μεγαλοφυῶν ἑξῆς αὐτίκα παρακολουθεῖν πολλὰ παραπλήσια θαύματα καὶ ἡδονῆς ἄξια· καὶ τοῦτό γε εἶναι καὶ τὴν τῆς πόλεως ταύτης εἰς τὸν βίον εὕρεσιν τηνικαῦτα καὶ πάροδον ὑπερφυῆ καὶ καθάπαξ ἀπαράμιλλον ἢ κατὰ τὰς ἄλλας καὶ ἀδόκητον ὡς ὑπερφυῆ βασίλεια καὶ τῆς εὐσεβείας, ὡς ἔφην, καὶ τῆς μεγίστης καὶ νέας ἀρχῆς τότε μέγιστα καὶ νέα καὶ προσήκοντα· καὶ τὴν χρείαν ἱστορῆσαι τοὔργον καὶ προενεγκεῖν (f.262[r])εὔλογον αὐτόθεν μετὰ παντὸς τοῦ γιγνομένου.

50. Καὶ ὁ μὲν σκοπὸς ἅπας δημιουργημένῃ τῇ πόλει τοιοῦτος καὶ ἡ κινοῦσα πρόνοια περὶ μεγάλων οὕτω· καὶ τοσοῦτος ὁ χρόνος[171] δείκνυσι δ' ἑξῆς ὡς ἄρ' ἀγαθῇ τύχῃ μάλ' ἐν καιρῷ ἐξ ἐκείνου προὔστη συνεχῶς αὕτη τῆς μεγίστης ταύτης ἀρχῆς καὶ τοῦ τοσούτου τῆς οἰκουμένης λάχους· καὶ τῆς πίστεώς γε μὴν αὕτη προὔστη καὶ τῶν καθ' ἡμᾶς ἡγεῖται δογμάτων τὸν ἀεὶ χρόνον, ἐξ οὗ καὶ γίγνεται· καὶ θεμιστεύει λοιπὸν αὕτη καὶ νομίζει περὶ Θεοῦ καὶ τῶν θείων πάσαις πόλεσιν ἄλλαις καὶ πάσαις ἐκκλησίαις ἄλλαις ἐν ἄλλαις πόλεσι· καὶ ὁρᾶν ἔξεστιν ἐντεῦθεν τὴν τῆς θεοσεβείας ἀλήθειαν πηγάζουσαν ἀνθρώποις ἅπασιν ἐν παντὶ τῷ παραστάντι τοῦ καιροῦ καὶ τὴν πόλιν ἐπαρκοῦσαν ἑκάστοις, ὧν ἄρα δέοι ἂν περὶ τῆς πίστεως συνθημάτων καὶ νομίμων εὖ βιοῦν τὰ θεῖα· καὶ παντάπασιν ἀζημίως τῶν ὀρθῶν ἐπίπαν ἐχομένη[172] καὶ τῆς τῶν καλῶν ἀσφαλίσεως, τὰ μὲν ἐν τοῖς ὅροις καὶ ταῖς

---

[171] verba καὶ τοσοῦτος ὁ χρόνος post καιρῷ scripta huc transposui
[172] ἐχομένους V

ἁπάσαις δόξαις, αἷς ὁ καθ' ἡμᾶς ἔχεται λόγος, τὰ δ' ἐν τοῖς πρακτέοις τῆς χριστιανικῆς συντάξεως, ὡς κοσμιώτατα συναρμόζεται, μηδὲν ὑπηχοῦσα κίβδηλον, μηδὲν νοσοῦν φέρουσα πρὸς τὴν ὅλην ἑαυτῆς συντέλειαν καὶ συνέχειαν. Κἀνταῦθά ἐστιν ἡ τῆς ἀληθείας ἑστία καὶ τὸ πρυτανεῖον τῆς εὐσεβείας τοῦ Χριστοῦ· καὶ ὃ βούλεταί τις λαμβάνει· καὶ ᾧ προσήκει δίδοται τοὐπιβάλλον τῆς νομῆς, οὐδὲν οὐδενὶ πλέον, οὐδὲν ἧττον οὐδενί· καὶ οὐδὲν ἄρα δεῖ πονεῖν, οὐδὲ κάμνειν ἀσύνοπτα καὶ ἀόριστα καὶ πολυπραγμονεῖν ὁτουοῦν δεῆσαν ὁτῳοῦν, οὐδὲ περιιέναι δολιχὸν κατά τινα ζήτησιν περὶ τῶν θείων νομίμων καὶ τῆς πίστεως. Ἀλλὰ τοῦτο παντὸς μᾶλλον ῥᾴδιον καὶ παντὶ πρόχειρον ἔξεστι μάλ' ἐνταῦθ' ὁρᾶν ἐπὶ τῆς χρείας ἑκάστης αὐτίκα· καί, μόνος ἅλιος ἐν οὐρανῷ, φησὶ Σιμωνίδης, καὶ ἴσως ἡ πόλις τοῦτ' ἐπὶ τῆς οἰκουμένης ἁπάσης· καὶ οὐκ ἔστιν ἀτυχῆσαι ταύτην, (f.262^{v})ὥσπερ ἑνὸς σκοποῦ μόνου τοῖς πᾶσιν ἐπιδηλοτάτου προκειμένου, οὐδ' ἔστιν ὅστις οὕτω δυστυχής, οἶμαι, οὐδ' ἀμαθέστατος ἐνταῦθα τὰ κοινὰ πᾶσι καὶ πάνυ τοι ῥᾷστα· καὶ τοῦτό γε ἔστιν, οἶμαι, καὶ τοῦτο λέγεται, ταύτην ἄρα δὴ τὴν πόλιν καὶ τὸν ἐπὶ ταύτης ἡγούμενον τὰ θεῖα τὴν οἰκουμενικὴν ἔχειν ἐπιστασίαν, ὥσπερ τινὰ χοροῦ κορυφαῖον τοῦ μέλους καὶ ταμίαν ἐναρχόμενον τῆς συμφωνίας τῷ συστήματι καὶ νομέα τῆς ἰσότητος ἢ καθάπερ τινὰ κυβερνήτην τοῦ μεγάλου τοῦδε σκάφους τῆς οἰκουμένης οἰακοστροφοῦντα πρὸς τὸ δοκοῦν βέλτιον ἑκάστοτε πάντων εἰς αὐτὸν ἀνεχόντων ἐπὶ τοῦ κοινοῦ πλοῦ, ἤ, μᾶλλον ἐρεῖν, ὥσπερ αὐτοκράτορα τῆς εὐσεβείας ἐπίλεκτον τοῖς μὲν τά, τοῖς δὲ τά, πᾶσι δ' οὖν τὰ καθήκοντα καὶ τὸ γιγνόμενον ἅπαν ἐπιτέλλοντα· καὶ οὐκ ἔστιν ἄλλως σωφρόνως βιοῦν ἢ ὅστις γ' εὖ μάλα πείθεται προσέχων τὸν νοῦν.

51. Ἀλλὰ ταῦτα μὲν ἴσως προέδραμεν ὁ λόγος νῦν εἶναι πόῤῥω τοῦ καιροῦ καὶ παρήσομεν λοιπόν. Ὅπερ δὲ ἐλέγομεν, ὡς ὁ μὲν ὅλος σκοπός, ὃν

ἔφην, δημιουργουμένη τῇ πόλει μέγιστος οὕτω, ἐπειδὴ[173] τῆς γῆς οὐκ ὀλίγον ἀποτέτμηται, καὶ ἴσως μετὰ τῶν εἰκότων λογισμῶν εἰς τὴν πρόθεσιν· καὶ ἀποτέτμηταί γε τῆς γῆς ἐπικαιρότατα καὶ τῆς θαλάττης αὐτῆς, ὡς ἄρ' οὐκ ἐξῆν ἄλλῃ πῃ βέλτιον· καὶ περὶ τούτων, ὡς ἐξῆν, εἰρηκότες φθάνομεν. Συνοικίζεται μὲν εὐθὺς Ἕλλησί τε[174] τοῖς πρώτοις καὶ τῇ Ῥωμαίων εὐγενείᾳ τηνικαῦτα πάντων κρατούσῃ καὶ δυοῖν οὕτω τῶν ἀρίστων ἐθνῶν γνώμῃ τε καὶ χειρὶ καὶ πάντων ἐπιτηδεύσει τῶν καλλίστων, τὰ μὲν κατ' ἔθος, τὰ δὲ κατὰ φύσιν. Ἐκ δὴ τούτων ἄρα τῶν ἐθνῶν ἡ πρώτη σύμπηξις αὐτὴ γεννικὴ καὶ μεγαλοφυὴς δημιουργεῖται καὶ συντίθεται, καθάπερ οἱ φυσικοὶ φασὶν ὡς ἂν ἐξ εἴδους τινὸς καὶ ὕλης τὰ γιγνόμενα πάντα, τῆς μὲν ῥωμαϊκῆς αὐτῆς τύχης τὴν εἰδοποιὸν ὑποβαλλούσης ἀρχήν, ὥσπερ ἐν τῇ πάντων γενέσει τῶν ἀῤῥένων ἔχει τὰ σπέρ(f.263r)ματα, τῆς δ' Ἑλλάδος αὐτόθεν χώρας μετὰ τὴν πρώτην ὑποδοχὴν πάντα παρεχομένης τῆς κατὰ φύσιν ὕλης τὰ ῥεύματα κάλλιστά τε καὶ ἄφθονα, μᾶλλον δ', ὡς εἰπεῖν, ἄφθορά τε καὶ καθαρὰ πρὸς τὴν εὐγενῆ ταύτην τοῦ παντὸς κράσιν καὶ οἷα τῆς πρώτης εἶναι τῶν ὄντων συνθέσεως, εὖ δὴ μάλιστα πεφυκότα πρὸς ἄλληλά τε καὶ τὴν τοῦ παντὸς ἀπόδοσιν ἐντελῆ[175] καὶ κατασκευὴν ἔμμουσον πάνυ τοι καὶ ἡρμοσμένην. Ταῦτ' ἄρα καὶ συσκευάζεται πάντα πάντοθεν τῷ μεγίστῳ καὶ περισπουδάστῳ τῷδ' ἐξῆς ἔργῳ κατὰ χρείαν τε καὶ πάντα κόσμον καὶ - τί ἂν εἴπῃ τις; - ὅσῃ τῇ σπουδῇ καὶ πάνυ τοι ῥᾷστα, καθάπερ τινὰ τῶν εὐπορίστων ἐξ ὑπογυίου, τὰ μήκιστα καὶ δυσποριστότατα καὶ φέρειν ἐργωδέστατα, ὥσπερ ἀγώγιμα ἄττα τῶν ἔγγιστα Κυζίκου τε καὶ Προικονήσου λατομιῶν· καὶ οὐδὲν ὅ,τι μὴ μετασκευάζεται τῇδε λοιπὸν παντὶ πόνῳ καὶ τρόπῳ, κἂν ὅ,τι μάλιστ' ἐκ γειτόνων, κἂν ὅ,τι μάλιστα πόῤῥωθεν τῆς

[173] ἐπεὶ δὲ V
[174] τε V^{sl}
[175] εὐγενῆ] γρ. ἐντελῆ V^{mg}

μεγάλης περὶ τοσούτου σκοποῦ καὶ πράγματος φιλοτιμίας, πᾶν ἄρα δὴ καὶ τὸ τέως ἀλόγιστον παντάπασι καὶ ἀδόκητον πραττούσης ἀνύσιμον εὖ μάλα, μᾶλλον δὲ πραττομένης ἀτρέπτως ἀπαραίτητόν τινα φορᾶς ὀφειλήν.

52. Καὶ περίβολος μὲν ἀνίσταται τοσοῦτος, ἔργον οὐ μόνον ἀνέλπιστον καταπράξασθαι ἀλλὰ καὶ σχεδὸν ἰδεῖν μόνον ὡς ἐπίπαν καί, πρὶν ἰδεῖν, ὡς ἀληθῶς, μὴ πιστεῦσαι μὴ δὲ λογίσασθαι χώραν ἔχον. Οὐ γὰρ ἦν ὡς ἔγγιστα παραβάλλειν ὁτῳοῦν τῶν φθασάντων οὐδ' ἐκ παραδείγματος συλλογίσασθαι τέως καὶ θαῤῥῆσαι - ἢ πῶς γὰρ οὔ; - πρᾶγμα καὶ γεγονὸς ἔπειτ' αὖθις ἀμίμητον τοῦ λοιποῦ, κάλλη δὲ καὶ κόσμον τῆς ὅλης κατασκευῆς καὶ τέχνης ὥραν καὶ κράτους ἀκμὴν καὶ πάντα πορισμὸν ἐρυμνότητος διὰ πάσης ἐπιμελείας συνιόντα καὶ κιρνάμενον· κἀπὶ τοῖς τείχεσι δεύτερα [κἀπὶ τοῖς τείχεσι][176] τάφρους καὶ διωρυγὰς οὐκ ἀγχιβαθεῖς, (f.263^{v})κἀπὶ τούτοις τέχνας αὖθις καὶ κατασκευὰς καὶ δημιουργήματα τί τις ἂν ἔχοι λέγειν, ἃ μόνης ἱστορίας ἔργον προθέμενός τις οὐκ ἂν ἔπειτα ῥᾳδίως ἀπαλλάττοιτο; Καὶ συχνοῦ δέοι ἂν ἡμῖν λόγου τρίβειν ἐνταῦθα, πλὴν ὅτι τὰ πάντων τῇδε κράτιστα, συνελόντ' εἰπεῖν, καὶ τὰ πάντων κάλλιστα καὶ οἷς οὐκ ἔστι παραβάλλειν ἕτεράττα τῶν πάντῃ θαυμαζομένων οὐ καθ' ἕτερον τῶν εἰρημένων ἢ κράτος ἢ κάλλος οὐδὲ μὴν μάλιστα κατ' ἀμφότερα συνιόντα· καὶ ὅστις ἄρ' ἐκμανθάνειν βούλεται, χρηστέον τοῖς ὀφθαλμοῖς. Εἰ καὶ τοῦτο δοίημεν, πλήν γε ὅτι τοσοῦτο λέγειν ἔχομεν, ὡς ἃ μὴ πέφυκεν ὅλως ἱκανώσασθαι διὰ πάντων, ὡς εἶναι τοσοῦτο μέγεθος ἅμα τοσούτῳ κάλλει[177] καὶ τοσοῦτο κράτος ἢ μᾶλλον καὶ ἄμφω λοιπὸν καὶ μέγεθος καὶ κράτος ἅμα τοσούτῳ τῷ κάλλει· καὶ ὁρῶμεν γὰρ ἀδύνατα ξυνελθεῖν ὁμοῦ πάντα, καὶ πεῖρα καὶ χρόνος ἀεὶ πρότερον τοῦτ' ἐλέγχει,

---

[176] κἀπὶ τοῖς τείχεσι seclusi
[177] κράτει V

μᾶλλον δὲ τὸ πιστὸν ἡμῖν τῷ λόγῳ δίδωσι· ταύτῃ δὴ ταῦθ' ὁμοῦ πάντα καλῶς γε ποιῶν δίδωσιν ὁ χρόνος εἰς ἀνείκαστον θαῦμα καὶ ὃς ἄρα πάντα πεπαίνει, φασί, καὶ παραῤῥεῖν βιάζεται καὶ κατὰ φύσιν ἀπανθεῖν καὶ κατ' ὀλίγον [ἀλάττειν][178], πῶς ἂν εἴποιμι, τὴν φύσιν ἐνταῦθα μόνον ἀλλάττει· καὶ καινοποιὸς ὢν ἀεὶ μέγιστον ἐνταῦθα τοῦτο δείκνυσι καὶ ἄηθες καθάπαξ αὐτῷ τοσοῦτον ἔργον ἀνθοῦν τε καὶ διαπαντὸς ἀκμάζον, αὐτὸς ἔπειτα παριὼν οὑτωσί· καὶ μὴν ἔτι προστίθεται μάλιστ' ἀεὶ τῶν κόσμων καὶ τοῦ κάλλους καὶ οὐκ ἔστιν ὅτε μὴ λοιπὸν ἐπὶ τοῖς πρώτοις· καὶ ὃ μὴ πρότερον ἦν, ἀστεία νῦν γε εἶναι καὶ πρόδηλος ἡ προσθήκη, καὶ χθὲς ἤδη καὶ πρὸ τρίτης ἐπὶ τοῖς φθάσασιν ἀνίσταται· καὶ ὃ μήπω καὶ νῦν πρότερον εὕρηται, μὴ δ' εἰς νοῦν ἦκε, μὴ δ' ὀφθαλμοῖς ἔδωκε χάριν, θέαμα ἐπιτερπές, σοφὸς ὁ χρόνος ἀεὶ καίν' ἀναδείκνυται καὶ χαρίζεται τοῖς ὁρῶσι καὶ τῇ πόλει· καὶ λαμπρύνεται μὲν αὕτη τὰ παλαιά, λαμπρύνεται δ' ἑκάστοτε τὰ νέα.

53. Καὶ τοῦτο μὲν (f.264^{r})ὁ τοσοῦτος αὐτῇ περίβολος οὕτως ἔρχεται πάντα τὸν αἰῶνα, τοῦτο δ' ὅσα καὶ οἷα περιέχει φέρων ἐντὸς θαύματα καὶ κάλλη, ταμεῖον ὥσπερ ἄσυλον, ἐγκλείων καὶ πολυωρῶν οὕτω μέγιστον ἀσφαλὴς θησαυρόν· ἤ, κατὰ τὰ περιφανῆ θέατρα πάσης ἐντὸς εὐγενείας εἰς ἄκρον ἠσκημένα, πάνυ τοι πλείστοις, πάνυ τοι καλλίστοις θεάμασιν ἀστράπτων διόλου τοῖς ἐπόπταις καὶ ἁπάντων ἡδὺς σὺν θάμβει· ἤ, κατὰ τὰς πληθούσας ἀγορὰς μιμούμενος, αἳ πάντων μεμέστωνται κειμηλίων καὶ πάντων τῶν χρησίμων εὖ μάλ' εἰσὶ πλέα[179] διαπαντός, καὶ οὐ δέος ἔπειτ' οὐδὲν μή ποτ' ἐπιλείψει τὰ πολυζήτητ' ὤνια τοῖς ὀφθαλμοῖς προκείμενα, μὴ δ' ὁ χρόνος φθάσει τὰ πάντ' ἀποδόμενος καὶ δαπανήσας διαῤῥέειν κατὰ φύσιν ἀεὶ πείθων,

---

[178] ἀλάττειν seclusi
[179] πλέῳ V

ἀλλ᾽ αὖθις φέρει καὶ προΐησιν[180] αὖθις καὶ μάλ᾽ αὖθις καὶ ἀεὶ νέα καὶ βελτίω καὶ παραπλήσια καὶ παλαιῶν ἀεί ποτ᾽ ἐστὶ λοιπὰ καὶ νέων ἐπιδείξεις καὶ χάριτες· καί, ὥσπερ ἐπὶ τῶν ἀειφόρων φυτῶν καὶ ἐπιφορωτάτων τοῦ καρποῦ, τὰ μὲν ὁρῶμεν νέον ἀνθοῦντα καὶ προήκοντα καὶ καθιστάμενα τὴν γιγνομένην ἀρετήν, τὰ δ᾽ ἰόντα καθ᾽ ὁδὸν εἰς τὸν σκοπὸν καὶ τὸ πέρας τῆς φύσεως ὡς αὐτῇ νόμιμα ἐπὶ ῥητοῖς, ἀτελῆ δ᾽ οὖν ἔτι, τὰ δ᾽ ἀρτιουργὰ προσῳωρημένα, τὰ δὲ πεπαίνοντα τῷ χρόνῳ[181], τοῦτό ἐστιν ἐπὶ τῆς πάντα θαυμαστῆς τῆσδε πόλεως καὶ πολυφόρου καὶ ἀειθαλοῦς ἀεὶ πληθούσης ταῖς λαμπρότησιν ἁπάσαις καὶ τῶν κατασκευῶν ταῖς φοραῖς παλαιαῖς τε καὶ νέαις ἱσταμέναις πόῤῥωθεν τῶν χρόνων καὶ τὸν ἀεὶ γιγνόμενον χρόνον, εἰ δὲ καὶ ἀπογινομέναις ἔστιν ὅτε καὶ οὖ, ἀλλὰ μάλιστα μὲν οὐ παντάπασιν, ἄλλως τε καὶ ὡς ἔπειτ᾽ ἄρα βελτίον᾽ [182] εἶναι τοῖς ἀνιοῦσιν ἀεὶ νέοις καὶ τὴν ζημίαν οὐ χαλεπὴν οὐδ᾽ ἐργώδη παρεπομένην τῇ τοσαύτῃ τῶν ἀεὶ βελτίστων ἐπιφορᾷ νῦν ἑκάστοτε καινῶν τε καὶ ἀκμαζόντων, καθάπερ ἐπὶ τῶν ἀποβαλλομένων ὀρνέων τὰ πτίλα (f.264[v])τακτοῖς ὅροις τῆς φύσεως καὶ καιροῖς, τὰ μέν γε λείπεται τῶν προτέρων, τὰ δὲ φύεται, τὰ δὲ ἐπιφύεται, καὶ[183] ἔστιν ἄρα τοῦθ᾽ ὕστερον σφίσι βέλτιον ἢ πρότερον καὶ κάλλους καὶ ἀρετῆς προσθήκη τῇ ἐπαινετῇ χρείᾳ[184]· καὶ οὐκ ἂν ἀλλάξαιτό τις τῶν μὴ τοιούτων τὰ τοιαῦτα, οὐδὲ πολλοῦ γε καὶ δεῖ· καὶ τοίνυν τὰ μὲν τῇ πόλει τῶν παλαιῶν ἀσφαλῆ καὶ τῶν πολλῶν ἀζήμια χρόνων καὶ οὐδεμία παρ᾽ αὐτῶν ἀδικία σφίσι, τὰ δ᾽ ἀνέστη καινά, τὰ δ᾽ ἀνίσταται καὶ προστίθησιν ἀεὶ τοῦ κάλλους καὶ προστίθησι[185] τῆς ἀκμῆς, χωρὶς ἄρα καὶ τῆς παρὰ τῶν ἐρειπίων αὐτῶν καὶ τῶν παλαιῶν λειψάνων αἴγλης, ἵν᾽ οὕτως εἴποιμι,

---

[180] προΐεισιν V
[181] τὸν χρόνον V
[182] βέλτιον V
[183] ras. post καὶ
[184] τὴν ἐπαινετὴν χρείαν V

καὶ λαμπρότητος ἀμυθήτου καὶ καλλονῆς εὖ μάλα τῷ παντὶ πρεπούσης. Οἷον γὰρ εἰς κόσμου περιουσίαν κοινωνεῖ καὶ συνυφαίνεται τῇ νέᾳ φορᾷ καὶ τῇ πόλει καὶ τοῖς κατ᾽ αὐτὴν νεουργοῖς τὰ τῶν παλαιῶν ἐλλείμματα μεγαλουργημάτων, μνημεῖα τῆς ἐκ μακροῦ δόξης λοιπὸν ἑστῶτα, ὥσπερ ἐν τοῖς τάφοις αἱ στῆλαι καὶ τἀπιγράμματα μάρτυρες εὐκλείας λείπονται τοῖς κειμένοις! Οὐκοῦν πολλοῖς ἄλλοις ἀρκεῖ τὰ τοιαῦτα καὶ παραπλήσια φιλοτιμίᾳ καὶ μεγάλης ἐπιδείξεως ἀφορμῇ καὶ οὐκ ἄπο λόγου καθάπαξ οὐδ᾽ ὡς ἄν, οἶμαι, δικαίως νεμεσήσαι τις ἢ καταγνοίη. Ἢ τίς γὰρ οὕτω δυστυχὴς καὶ περὶ τῶν καλλίστων ἀμαθὴς ἢ κομιδῇ βάσκανος, ὃς οὐκ ἂν ἀξιοίη περὶ τῶν ἀνθρωπίνων πραγμάτων βέλτισθ᾽ αἱρούμενος καὶ κρίνων[186]; Εἴ τις τὰ παρόντα μὴ πράττων εὖ ἐπὶ τὰ παλαιὰ καταφεύγει καὶ τῇ μακρᾷ τοῦ χρόνου μνήμῃ φέρων ἔπειθ᾽ ἑαυτὸν δίδωσι καί τινά οἱ παλαιοδοξίαν ἐξ ἄρα τοιούτων τινῶν καὶ ἀρχαιοπλουτίαν κειμένην, ὥσπερ ἐκ σκευῶν τινων χρυσέων καὶ κειμηλίων τῷ χρόνῳ κατεσκαμμένων τε καὶ καταθραυσθέντων εἰς ἀχρηστίαν ἴσως, πρόθυμος ἐπιμαρτύρεται καὶ ἀντισταθμίζει τοῖς νεοπλούτοις (f.265[r])καὶ ἀντανισοῖ τὴν ἤδη φθάσασαν αὐτῷ, μᾶλλον δὲ παραῤῥεύσασαν, εὐδαιμονίαν τοῖς τῶν ἄλλων ἀρτιπαγέσι καὶ νεαροῖς ἑστῶσιν εὐπραγήμασιν, ἀλλὰ τοῖς μὲν οὕτω τὴν τεθνηκυῖαν ἀνακαλεῖσθαι καὶ φέρειν ἀμηγέπῃ πρὸς κλεισμὸν εὐζωίαν τε καὶ εὐγένειαν οὐδὲν καινόν, οὐδ᾽ ἀσύγγνωστον ἐπὶ τῶν ἀνθρωπίνων, ὡς ἔφην, πραγμάτων.

54. Ἡμῖν δὲ οὐχ οὕτως ὁ θησαυρὸς ἔχει, οὐδ᾽ ἄνθρακες αὐτὸς ἡμῖν, κατὰ τὴν παροιμίαν, ἄλλον τρόπον ἐρεῖν λαμπροὶ μὲν πρότερον ἀλλ᾽ ὅμως γε νῦν ἐσβεσμένοι· οὐδ᾽ ἀναχωροῦμεν, οὐδ᾽ ἀνατρέχομεν ἐπὶ τὰ παλαιὰ μόνα καὶ

---

[185] ἐκ δὴ in ras. post προστίθησι V
[186] expectes αἱρεῖσθαι καὶ κρίνειν

πρῶτα καὶ φέρομεν ἐκεῖθεν ἑαυτοῖς, ὡς οἱ πολλοὶ μακρόθεν τινὰ καὶ γηράσασαν ἢ καὶ τεθνηκυῖαν, ὡς ἔφην, εὐγένειαν καὶ ἱστορίας μόνον καὶ λόγους καὶ χρόνιά τινα μακάρια διηγήματα καὶ δι' ἀδήλων τὰ 'πίδηλα κακῶς πράττοντες, ὡς ἂν οἷοί τ' εἶεν, παραμυθοῦνται καὶ σοφίζονται μὴ ἔχοντες, ὡς ἔοικεν, ἄλλως ἑαυτοῖς καὶ τοῖς παροῦσι χρῆσθαι. Ἀλλ' ἡμῖν γε οὐχ οὕτως, ἔφην, ἔχει τὰ πράγματα, ἀλλ' ἀπόχρη τὰ παρόντα μόνον καὶ φαινόμενα κάλλιστα ἐπὶ καλλίστοις κἀπὶ μεγίστοις μέγιστα καὶ πάντων ὁμοῦ μεῖζω τε καὶ καλλίω, καὶ οὐκ ἂν ἄλλως τις ἐρεῖ σωφρονῶν καὶ φεύγων αὐτόθεν αὐτίκα μελαγχολίας ἔλεγχον. Οἷς γὰρ οὕτω λαμπρὰ καὶ περιφανῆ χρῆσθαι τὰ κατὰ σφᾶς αὐτοὺς καὶ κομιδῇ γε τῆς παρούσης εὐεξίας καὶ ἀστειότητος ἐπιδείξαιντ' ἂν χειρούμενοι τοὺς ὁρῶντας παραχρῆμα, πρᾶγμ' οὐδὲν ἴσως οὐδ' ἠτισοῦν ἀνάγκη φέρειν εἰς τὰ πάλαι πρότερον καὶ κατάγειν ἐξ ἀρχαιογονίας τὴν εὐδαιμονίαν. Ἀλλ' ἔξεστί γε ὅμως καὶ τοῖς παλαιοῖς καὶ πόῤῥω τῶν χρόνων, πῶς ἂν εἴποι τις, ἡμῖν χρῆσθαι πλεῖν ἢ πᾶσιν ἄλλοις ἐν τοῖς κατ' αὐτοὺς ἄλλοις, κἂν ὅ,τι πλεῖστα καὶ μέγιστα δύναιντο καὶ μὴν ὅπου γε καὶ εἰ ταῦτα δεικνύναι καὶ λέγειν εἶχον καὶ φέρειν εἰς μέσους παράλληλα. Ἀλλ' ἡμῖν τοῦθ', ὡς ἀληθῶς, ἀμφοτέρωθεν ἁπαντᾷ (f.265^{v})καὶ κοινωνεῖ σφόδρα λαμπρῶς, καὶ ὡς θαυμάζειν μάλιστα τὴν ξυντυχίαν καὶ πιστοῦσθαι μὲν τοῖς νέοις καὶ περιδόξοις τὰ παλαιὰ κλέα, τιμᾶσθαι δὲ τὰ νέα τοῖς παλαιοῖς καὶ ἀντιτιμᾶσθαι τοῖς νέοις τὰ παλαιὰ καὶ ἀλλήλων ἀπολαύειν εἰς καλλονὴν πάντοθεν τελείαν καὶ ἀλλήλοις ἀντιδιδόναι τὸν εἰκότ' ἔρανον· καὶ ὄντως ἡμῖν ἡ παροιμία δοκεῖ φέρειν τὰς μακρὰς οὐσίας καὶ τὸν πλοῦτον βαθύν· καὶ πάρεστιν ἀκούειν καὶ τοῖς παλαιοῖς χρῆσθαι σώμασι καὶ πάρεστιν ὀφθαλμοῖς ἀμέλει χρῆσθαι πρὸς τὴν ἐκ πολλοῦ κατιοῦσαν ἡμῖν μεγαλοδοξίαν καὶ τοῖς καταλειφθεῖσι ἀναλώτοις ἐπίπαν τοῦ χρόνου καλλίστοις θεάμασι· καὶ τροπαίων δίκην ἵσταται ταυτὶ καὶ μένει ταῖς πρώταις

ἐκείναις μεγαλουργίαις καὶ κηρύγματα πομπεύονθ', ὡς εἰπεῖν, κατὰ παντὸς ἄτρεπτα τοῦ χρόνου καὶ ἄσειστα τὴν θαυμαστὴν εὔκλειαν ἐκείνην καὶ τοῦ βίου περιφάνειαν ἡμῖν ἐξαρχῆς.

55. Οὐκοῦν ὁράτω τις δημοσίας κατασκευὰς τοσαύτας καὶ μεγαλοπρεπεῖς οὕτω καὶ ἰδιωτικὰς ἐφαμίλλους· καὶ ἃ μὲν ἐπίπαν ἄσυλα τῆς πανωλείας τῶν τοσούτων ἑστῶτα χρόνων καὶ μετὰ τῆς ἀκμῆς ἀκλονήτου, καθάπερ εἰ χθὲς ἀνίστατ' ἂν καὶ πρὸ τρίτης, πάσης ἐπηρείας ἀθῷα, θαῦμα τοσούτῳ μέγιστον, ὅσῳ μέγιστα καὶ κατ' οὐδὲν ὁ,τιοῦν εἴκει τὸν ἅπαντα αἰῶνα καὶ ῥεῖ κατὰ φύσιν ἢ διὰ μέγεθος ἢ δι' ὕψος ἐκτεταμένα τοσοῦτον, ἔπειτα δι' αὐτὰ ταῦθ', ἃ καὶ θαυμάζεται, λοιπὸν ἀτονήσαντα ἢ διὰ ποικίλματα ἄττα καὶ στροφὰς καὶ τέχνας πανσόφους μὲν ἀλλ' ὅμως ἐξανάγκης οὐκ ἀντεχούσας παντάπασι τῇ δυναστείᾳ τῶν χρόνων καὶ ἀντιτεχνήσει ἔστι δ' ἃ καὶ κατὰ φύσιν τραπέντα τε καὶ ὑπερῤῥυηκότα κατ' ὀλίγον ὑπὸ τοῦ μακροῦ γήρως καὶ τῆς ἡλικίας καὶ τῶν χρόνων, ἀτὰρ λειψάνοις οἱστισινοῦν θαυμαζόμενα, ὥσπερ κἀκ τῶν ὀνύχων τοὺς λέοντας ἡ παροιμία θαυμάζειν δίδωσι καὶ κρασπέδοις τεκμηριοῦσθαι θοἰμάτιον καὶ καλλονὴν ὑφασμάτων καὶ ὅλως διὰ τεμμάχη τὸ πᾶν ἔξεστι λογίζεσθαι καὶ συμμετρεῖσθαι· (f.266[r])καὶ μὴν ἔστιν αὖθις παρὰ τοσοῦτο κἀνταῦθα καταπλήττεσθαι τὸ κρατερὸν αὐτὸ τῶν ἐλλειμμάτων καὶ τῶν μερῶν, ὥστ' ἀπορεῖν πάνυ τοι καὶ θαυμάζειν ὅπως ἄρα καὶ τὰ λοιπὰ καὶ παρελθόντ' οἴχεται. Ὥστε κατ' ἀμφότερα τοιγαροῦν θαυμάζειν ἐξεῖναι, τοῦτο μὲν ἐπὶ τῶν μενόντων τὸ κράτος τῆς δημιουργίας καὶ τῆς τέχνης ὅπως εἰς τοσοῦτον ἀκμάζει καὶ πᾶσιν ἀντέχει πράγμασι, τοῦτο δὲ τὸ μάλιστ' ἀσφαλὲς καὶ ἄνοσον τῶν λειφθέντων, ἐκ πολλῆς[187] τῆς συνεχείας ἀταπείνωτον οἷον καὶ οὐχ οἷον φύσιν ἔχειν ἡττᾶσθαι καὶ ὀπηοῦν καὶ καταδαπανᾶσθαι καὶ φθίνειν,

ὅπως ἀμέλει ξυνεχώρησε τὰ ναυαγήσαντα τῇ συμφορᾷ καὶ τῷ κλύδωνι καὶ τὸ συγγενὲς τῆς ὅλης οὐσίας προὔδωκεν ἢ τίνι καὶ τρόπῳ καὶ φύσεως ὀφλήματι καὶ κράτει τῆς τοῦ χρόνου τυραννίδος τὸ εἰκὸς ἀπέδωκε καὶ ἀφῄρηται, εἰ μὴ ἄρ', ἔοικεν, οὐ κατὰ φύσιν ἀλλ' ἐπίτηδες ἐχθρῶν ἴσως καὶ κακίστων ἀσκήσει κατεσπουδασμένη καὶ κακουργίᾳ καὶ βασκανίᾳ τινῶν ἐπιβούλων καὶ ἀποστατῶν τῶν ὄντων καὶ τῆς φύσεως καὶ τῶν καλλίστων τῆς φύσεως καὶ τοῦ παντὸς κόσμου, καθάπερ ἔνια τῶν ζῴων ὁρῶμεν φθοροποιὰ καὶ φύσιν ἔχει μόνον ὀλλύναι καὶ μάχην ἄσπονδον ἀνῄρηται δι' ὅλου κατὰ τῆς οὐσίας δι' οὐδεμίαν αἰτίαν, δι' οὐδὲν ἴσως κέρδος ἢ τροφὴν ἢ χρῆσιν αὐτοῖς.

56. Ἔστι γὰρ ἀποβλέπονθ', ὡς ἔφην, πρὸς τὰ λειφθέντα τοιαῦτα τοιαῦτα δὴ λογίζεσθαι καὶ ἀπορεῖν καὶ θαυμάζειν. Οὕτω γὰρ ὀχυρῶς ἔχει καὶ ῥωμαλέως τῆς φύσεως καὶ συνέστραπται καὶ καθήδρασται, ὡς ἂν ἔργον μέγ' εἶναι καὶ φιλονεικίας ὑπερβαλλούσης σπούδασμα καί, ὡς εἰπεῖν, θαῦμα, ὅστις ἂν ἐπιμελῶς κατ' αὐτῶν ἐπαναστὰς καὶ χεῖρα πᾶσαν ἀντάρας ἔπειτα περιγένοιτο· καὶ πολλοὶ κατ' ἀνάγκην ἠντιναοῦν καὶ χρείαν καὶ συνοῖσον ἢ κοινὸν ἢ καὶ ἴσως ἴδιον κατ' αὐτῶν ἐπιχειρήσαντες ἐν δέοντι χρήσασθαι τοῖς ἀνονήτοις καὶ κατηργημένοις τούτοις, πολλὰ λοιπὸν ἀεθλεύσαντες (f.266^{v})κατ' αὐτῶν ἐπικενῆς εἰς οὐδὲν ἱκνούμενον ὡς οὐδὲν ἰσχύοντες καὶ τἀκίνητα κινεῖν ἔπειτ' ἔγνωσαν. Ἔπειθ' ἑκόντες γε ὄντες ἐδραπέτευσαν τὴν ἐπιχείρησιν καὶ τὴν μάχην καὶ ἀπεχώρησαν τῆς ἀνονήτου καὶ μηδὲν ὅλως πέρας ἐχούσης σπουδῆς· καὶ τὰ μέν γε οὕτως. Καὶ θησαυρίζει τοιγαροῦν, ὡς ἔοικε, καὶ ταῦθ' ἡ πόλις προσθήκην οὕτω δὴ κάλλους καὶ θαύματος ἀφορμήν, καὶ πολλοὶ πολλῶν χρημάτων, εἰ οἷόν τ' ἦν, πρίαιντ' ἂν σφίσι προσεῖναι καὶ τὰ τῆς πόλεως ἐρείπια ταῦτα καὶ νεκρὰ τῶν σωμάτων. Περὶ δὲ τῶν ἑστώτων, τοῦτο μὲν παλαιῶν,

[187] πολῆς V

τοῦτο δὲ νεαρῶν τούτων, ὡσπερεὶ προβόλων ἀκλονήτων τε καὶ ἀτρέπτων κατὰ τοῦ[188] χρόνου, εἰ δὲ βούλεταί τις, κἀνταῦθα κατ' αὐτοῦ τροπαίων ὡσανεὶ τῆς τέχνης οὐ τῆς εὐκλείας μόνον τῆς ἀηττήτου τῇ πόλει κατὰ τὸν ἄνω λόγον, τί τις ἂν ἐροῖ[189] πρῶτον ἢ τί μᾶλλον ἐν σπουδῇ θεῖτο περὶ πραγμάτων οὕτω πάντοθεν θαυμαστῶν τε καὶ παραλλήλων καὶ ἃ μή ποτ' ἐστὶ λόγων ἀξίων τυχεῖν οὐδ' ἂν ὅστις ἐπιχειροίη οὐδ' ἂν ὅσον μάλιστ' ἐπείγοιτο; Καίτοι τί λέγω; Ὅπου γε καὶ εἰ περὶ ἓν ὁ,τιοῦν ἔλοιτ' ἄν τις ἑαυτῷ καὶ τοῖς λόγοις χρήσασθαι, σχολῇ γ' ἂν τοῦ πράγματος ἱκανῶς διαγένοιτο καὶ ὡς ἂν ἀξιώσειεν ἀποχρῆναι· ἤ, καὶ εἰ μόνον ἔλοιτ' ἂν ἅπαντ' ἀριθμεῖσθαι ψιλῷ τῷ λόγῳ προβαίνων οὑτωσὶ καὶ τιθεὶς[190] ἐπ' ὀνομάτων μόνον, οὐκ ἂν τύχοι [οὔκουν γε ὡς ἂν][191] καὶ μηδενὸς ὁτουοῦν ἐλλείπειν, ἃ καὶ μόνον ἐποπτεῦσαί τις καὶ τοῖς ὀφθαλμοῖς ἐπελθεῖν ἅπαντα παγχάλεπον ἔργον, οὔκουν γε ὡς ἂν φαίη τις εὖ μάλ' ἐξεῖναι. Ἀλλ' ὥσπερ εἰς λαβυρίνθους τινὰς ἐμπεσὼν ἰλιγγιῴη ἂν καὶ οὐκ ἔχοι χρῆσθαι, ὅταν γε δὴ καὶ δοκοίη καὶ δῆτ' ἀνύσιμά οἱ λοιπὸν εἶναι καὶ τελευτᾶν τοῦ πράγματος καὶ διεκπίπτειν ἤδη ἐν προθύροις αὖθις αἰσθανόμενος ξυλλαγχάνων καὶ κόπτων εἰκῇ καὶ ὥσπερ ἐξαρχῆς πειρώμενος καὶ ἀεὶ τοῦτο καὶ περαίνων οὐδέν.

57. Οἷα γὰρ πάντοθεν, ἀμύθητος (f.267[r])ἀριθμός, ἁπαντᾷ θεάματα καὶ συνέλκει καὶ τοὺς ὀφθαλμοὺς καὶ τοὺς λόγους ἑκάστοτε νῦν γε εἶναι, σεμνὰ σεμνῶς ἕκαστα καὶ κάλλιστα καὶ μέγιστα καὶ πάνυ τοι πλεῖστα, οἷον αὐτίκα δὴ νεῴ τε διὰ πάσης τῆς πόλεως ἀστράπτοντες παντὶ κάλλει καὶ πάσαις χάρισιν, οἷον ἀστέρες ὡς ἐν οὐρανῷ τῇ πόλει διαφανεῖς τῷ παντὶ σώματι, ἅμα μὲν κόσμων ὁ μέγιστος καὶ πρῶτος καὶ ἅμα πάσης ἀσφαλείας κοινοὶ σύνδεσμοι καὶ

---

[188] τοῦ V[sl]
[189] ἐρεῖ V
[190] τιθεὶς V[pc] : τυθεὶς V[ac]
[191] οὔκουν γε ὡς ἂν seclusi

ὡς ἂν φαίη τις ἐφ' ἱερῶν ἀγκυρῶν τὴν πόλιν ἐπὶ τούτων, ὡς ἀληθῶς, ἡδράσθαι καὶ θαῤῥεῖν ἄσειστα βιοῦσαν τὸν ἅπαντα αἰῶνα. Τοῦτο μέν, ὅσοι τὴν κοινὴν ἡμῖν τοῦ λαοῦ συνάγουσιν ἐπιμέλειαν τῶν θείων καὶ τὰ νόμιμα καὶ ἀπαραλόγιστα καὶ ζωοφόρα πᾶσιν ἀνθρώποις τῆς εὐαγοῦς θρησκείας ἡμῶν ὀφλήματα καὶ πρυτανεύουσι καὶ ταμιουχοῦσι τὴν πίστιν, κοινοὶ θεοσεβείας ἡμῖν θησαυροὶ καὶ ἀπραγμάτευτος ἀπόλαυσις εὐζωίας καὶ μετουσία, μᾶλλον δ' ἀναγκαία καὶ ἀπαραίτητος καθάπαξ, ὥσπερ οὐρανοῦ καὶ ἀέρος καὶ ὕδατος καὶ τῶν ὅσα τῆς σωματικῆς χρείας, εἰ δὲ βούλεταί τις, ἀπαραιτήτου φορᾶς ἐράνου καὶ συντελείας τῆς κοινῆς ἡμῶν πίστεως δοχεῖα ἢ λιμένες ἅπασιν ἑστῶτες κοινότατοι εὐπλοίας τε καί, τοὐναντίον, σάλου παντὸς καὶ κλύδωνος. Ἔνθ' ἄρα δέοι περαίνειν καὶ ὀντιναοῦν θαλαττεύοντα τῷ βίῳ ἑτοιμότατα καὶ ῥᾷστα κἂν ὅπως ποτ' ἄρα εἴτ' εὐδρομοῦντ' ἴσως τοῦ πλοῦ εἴτε καὶ[192] ναυαγοῦντα καὶ θεῖα μὲν οὖν καὶ ἀνθρώπινα. Τοῦτο δ', ὅσοι γε καὶ ἀνεῖνται τοῖς ἐξηρημένοις ἑαυτοὺς καὶ βιοῦντας τοῦ βίου καὶ ζῶντας αὐτῆς τῆς ζωῆς καὶ δραπετεύσασι τὰ πράγματα μόνῳ τῷ Θεῷ, καὶ ἀνεῖνταί γε σφίσι τοῦ σάλου τοῦ παρόντος τοῦδε καὶ τῆς τοῦ κόσμου περιφανοῦς καὶ προδήλου ταύτης φυγῆς καὶ μεγαλοψυχίας καταπαύσεις τε καὶ καταφυγαὶ καί, ὡς ἀληθῶς, ἱερῶν ἀσυλία πάσης ἐπηρείας τοῦ βίου καὶ τυρα(f.267^{v})ννίδος καὶ ὥσπερ ἀκροπόλεις τῆς ἐνθένδε μάχης ἀνεπιχείρητοι καὶ ἀρχεῖα τοῦ μεγάλου δεσπότου πάσης ἄψαυστα κακονοίας καὶ θράσους καὶ κακουργίας, ᾧ φέροντες ἑαυτοὺς ἐνεχείρισαν.

58. Ἀλλ', ὅπερ ἔλεγον, τὸ μὲν τῶν νεῶν ἄρα τουτὶ χρῆμα οἷον. Αἱ δ' ἄλλαι κατασκευαὶ καὶ δημοσίᾳ τε καὶ ἰδίᾳ, τί τις ἂν ἐρεῖ, στοαὶ παμμήκεις[193]

---

[192] καὶ V^{sl}
[193] παμμήκεις V^{pc}: παμμήκης V^{ac}

καὶ τοσαῦται πᾶσι μέρεσι τῆς πόλεως, οὐ δυστυχούντων μόνον ἀπραγμάτευτος παραμυθία ἀλλὰ καὶ καμινόντων ἄλλων ὁπηοῦν ἐν ὁδοῖς ἢ θέρους ὑπερβολὰς ἢ ψύχους ναυάγια καὶ χειμῶνας, καὶ γυμνάσια καὶ δρόμοι καὶ θέατρα καὶ ὑδάτων ταμεῖα καὶ κρῆναι καὶ θησαυροὶ μέγιστοι καὶ παντοῖοι καὶ πανταχοῦ τῆς πόλεως καὶ πάντοθεν αὐτόθεν τε ναόντων ἀφθόνων καὶ ἡδίστων, οὐκ οἶδ' ὡς εἴ πη ἄλλη, κἀκ μακροῦ φερόντων εἰς τὴν πόλιν οὐκ ὀλίγη δυναστείᾳ καὶ βίᾳ τῆς φύσεως, ἀνάγκη δ' ὅμως ἄτρεπτος δουλεύειν ὅπως ἄρα τῇ βασιλίδι πόλει πᾶσι τρόποις καὶ μηχαναῖς πάσαις, τὰ μὲν ἀδήλοις, τὰ δὲ καὶ ὡς ἂν εἶναι προὔπτον. Οἷ' ὁρῶμεν καὶ θαυμάζομεν μετὰ ῥαστώνης ὅσης καὶ χάριτος μετάρσια πομπεύοντα κατὰ πάσης τῆς πόλεως ῥεύματα καὶ ποταμοὺς ἀεροδρομοῦντας, ἔτι γε μὴν βαλανείων ἀπολαύσεις πλεῖσται καὶ καλλίστων τε καὶ μεγίστων καὶ παντοῖ' ἐν τούτοις σοφίσματα καὶ ὡς οὐκ ἔστιν ἐρεῖν ἢ μόνον χρῆσθαι προτρέπειν ἢ ὅλως γε ὀφθαλμοῖς εἰς αὐτὰ χρῆσθαι. Πρὸς δὲ τούτοις, τῶν ἁπάσαις νόσοις πονήρως ἐχόντων καὶ μακρὰ καὶ ποικίλα καμνόντων τῇ πολυειδεῖ τοῦ σώματος τοῦδε κακοδαιμονίᾳ καταπαύσεων οἰκοδομήματα πλεῖστα καὶ μέγιστα κατ' ὀλίγα διαστήματα τῆς πόλεως καὶ καταφυγαὶ σωτηρίας καὶ ταμεῖα ζωῆς καὶ τῆς φιλανθρώπου τέχνης καὶ τῆς κατὰ τὴν τέχνην ἁπάσης χρείας ἑτοιμότης καὶ καθάπαξ εὐπόριστος παρασκευὴ καὶ παραμυθία τῆς δυστυχίας ἐξ ὑπογυίου προσδραμεῖν καὶ τὸν τοῦ σώματος (f.268^{r})ἐλλιμενίσαι κλύδωνα καὶ τεχνιτεῦσαι τοὺς χειμῶνας καὶ τὴν ναυαγίαν καὶ διοικῆσαι τὴν συμφορὰν καὶ τὴν ἐξ ἡμῶν αὐτῶν οἴκοθεν ἐπανάστασιν ἢ στάσιν τῶν ἀφορμῶν τῆς φύσεως εὖ θέσθαι.

59. Καὶ πῶς ἄν τις περὶ τῶν οὕτως ἐρεῖ θαυμασίων τρέχων οὐτωσὶ τοῦ λόγου; Οἷαι δὲ καὶ στηλῶν καὶ ἀνδριάντων ἀναδρομαὶ καὶ κίονες δόξης τῶν περιδόξων ἐπὶ τῆς βασιλικῆς τῆσδε πόλεως καὶ κηρύγμαθ', ὥσπερ ἐξ

ὑπερτέρων, ἄνω πολὺ τοῦ ἀέρος, βοῶντα τῶν πάλαι θαυμαζομένων εὐκλείας καὶ τύχης ὕψωσιν· καὶ τοίνυν ἀγαλματοποιοῖς πρὸς γραφικοὺς ἅμιλλα καὶ χαλκοτύποις πρὸς ἀμφοτέρους καὶ πάντων σοφίσματα καὶ συμμετρίαι καὶ τέχναι πολυστρόφου τομῆς μετὰ ῥαστώνης κατὰ τῶν ἐρυμνοτάτων καὶ χαλκῶν καὶ λίθων, ὥσπερ ἂν εἴ τις τῶν εὐτήκτων καὶ μαλθακωτάτων ὁ,τιοῦν ὡς ἂν βούλοιτο καὶ καθ' αἵρεσιν δημιουργοίη καὶ πλάττοι τε καὶ μεταποιοίη παντοῖα σχήματα καὶ μέτρα καὶ τέχνας εὐδρομώτατα καὶ ῥᾷστα· καὶ πάντα ταῦτα τῶν ἄλλῃ πῃ καὶ τῶν ἐκ τοῦ παντὸς μάλιστα αἰῶνος τὰ τῇδε καὶ πλείω καὶ βελτίω πλέον ἢ πλείω· καὶ παλαιὸς μὲν λόγος ἀγαλματοποιοῖς καὶ γραφεῦσι καὶ χαλκοτύποις φησὶ καὶ πᾶσιν ὅλως, ὅσοις περὶ τὰ 'νδρείκελα καὶ τὰς μιμήσεις ἡ σοφία, τὰς ἐργασίας ἀθῴους ἀνεῖσθαι καὶ τὰς τέχνας ἀνεῖσθαι σφίσι μόνοις ἀνευθύνους ὡς ἄρα νέμεσιν οὐδ' ἡντιναοῦν ἑπομένην ἂν δικαίως, κἂν εἰ παντάπασιν ἀφειδῶς τῆς ἀληθείας ἐκτείνωσι τοὺς μιμητικοὺς κόσμους καὶ χαρίζοινθ' ὅσα βούλοιντο τοῖς ὠνουμένοις τὴν τέχνην. Οὐ μὴν ἀλλ' ἐνταῦθα δὴ καὶ τοῦτό τε καὶ πάντων ἴσως δικαιότερον, χαρίζεσθαι τῇ πάντα καλλίστῃ τε καὶ ὑπερφυεῖ ταύτῃ πόλει καὶ τὰ οἰκεῖ' αὐτῶν κάλλιστ' αὐτοὶ πάντες οὗτοι δημιουργοὶ καὶ τοὺς καταφύσιν ὅρους, ὡς ἔφαμεν, ὑπερβαίνειν (f.268^{v})χρώμενοι τῇ τῆς τέχνης ἀδείᾳ· καὶ ἅμα τὴν τῆς ἐργασίας ἀκρίβειαν σφίσιν ἔξεστιν ὁρᾶν τοῦ ἄκρου τυγχάνουσαν καὶ καθάπαξ ἀκαταιτίατον καταμηδὲν ἐλλείπουσαν τοῦ γιγνομένου μὴ δ' ἔχουσαν μὴ δ' ἐῶσαν ὁ,τιοῦν καὶ προσθεῖναι καὶ πλέον εὑρεῖν εἰς τὴν τῆς τέχνης συντέλειαν οὐδ' οἵαν ἀμέλει καὶ παράλληλά τινα τιθέναι τοῖς ἁπάντων ἄλλοις πανταχοῦ πᾶσιν ἔργοις, ὧν ἴσως καὶ ὁ,τιοῦν ἐστι μέμφεσθαι· καὶ τί ἄν τις ἀπέραντα περὶ τούτων ἐνταῦθα σπουδάζοι μηδὲν ἀνύτων πρὸς τὸ δίκαιον, ὅ,τι μὴ τρίβων ἀνόνητα; Καὶ ἅπανθ' ὅμως τῶν πραγμάτων αὐτῶν πολλῷ δεύτερα, κἂν εἰ πάνυ τοι πλεῖστα φέροι καὶ

πλεῖστα δύναιτο· καὶ τοῖς μὲν ἄνω νῦν εἰρημένοις περὶ τὰς μιμήσεις τεχνίταις ἐλευθέραν εἶναι τὴν ἐργασίαν φαμὲν τὸν τρόπον, ὃν εἴρηται, κἂν εἰ πλεῖστον τῆς ἀληθείας καὶ τῶν ὄντων ὀλιγωρῶσιν ἔξω τῆς φύσεως δραματοποιοῦντες. Ἀλλὰ τοῖς ἐπὶ τῶν λόγων, ὡς ἀληθῶς, ἅπασιν οὐκ ἔστιν ἀκαταιτίατον ἐνταῦθα τὴν σπουδὴν εἶναι, κἂν εἰ πλεῖστα πράγματ' ἔχοιεν καὶ κατεπείγοιντο φιλονεικοῦντες καὶ πάνθ', ὡς οἷόν τε, περιεργάζοιντο συνεξετάζοντες εἰς τὴν παροῦσαν ὑπόθεσιν, ἀεὶ τοῦ παντὸς ἀτευκτοῦντες ἐξ ἀνάγκης καὶ τῶν προσηκόντων ἐλλείποντες καὶ τῇ μὲν τοῦ πράγματος δικαιώσει μέμψεως ἂν ἄξιοι πάντως ὑστεροῦντες ὧν ἐχρῆν. Ἂν δ' ἄρα συνειδότες ἑαυτοῖς οὕτως ἀγωνιζομένοις ἔπειτα πρῶτοι τὰς καθ' ἑαυτῶν ἐκφέρωσι καὶ κηρύττωσι ψήφους τῆς ἥττης, συγγνώμης ἴσως οὐκ ἀλλότριοι· ἢ τί γὰρ ἂν[194] ἔχοιεν πρὸς τὸ τῆς ἐργασίας ἀδύνατον ὅλως κατὰ φύσιν τυχεῖν;

60. Ἀλλ' ὅπερ ἔλεγον, χορηγία μὲν οὕτως ἐπιεικῶς ἄφθονος τῇ πόλει καὶ πάνυ τοι πλείστη τε καὶ βελτίστη κατὰ πᾶν τὸ ἱκνούμενον ἁπάσης ἐπιτηδεύσεως καὶ τέχνης καὶ σπουδὴ πᾶσα πάντων καὶ (f.269[r])ἅμιλλα πρὸς ἀλλήλους, ὅστις ὑπερβάλλοιτ' ἂν καθάπερ ἐν τοῖς πεντάθλοις, καὶ ὅσοι τῶν ἐπιταττόντων μεγαλοψυχίᾳ τὰ κάλλιστα καὶ ὅσοι τῶν διακονουμένων ταῖς φιλοτίμοις αὐτῶν κινήσεσι καὶ γνώμαις καὶ μετὰ τοσαύτης ἀμέλει τῆς ῥᾳστώνης, ὁπόσης ἀτεχνῶς ἐπὶ τῶν λογισμῶν ἑτοιμότατ' ἔστιν ὁ,τιοῦν καὶ τῶν ἐργωδεστάτων πραγματεύεσθαι[195] καὶ μεταχειρίζειν. Ὕλη δὲ πᾶσα πρὸς τὴν χρείαν οὕτω σφίσιν ἀπήντα καὶ ἀμφοτέροις εὖ μάλα δαψιλὴς καὶ ὑπὲρ τὴν χρείαν, ἡ τέως ἐπὶ τῶν λογισμῶν δυσπόριστος ὑπερβαλλόντως δοκοῦσα καί, ὡς εἰπεῖν, ἀνεπιχείρητος καὶ λογισμῶν οὔκουν γε σωφρόνων οὐδὲ μετρίων, ἀπὸ

---

[194] ἂν V[sl]

[195] πραγματεύεσθαι V[pc] : πραγματεύσσθαι V[ac]

πάσης τῆς οἰκουμένης καὶ πάντων αὐτῆς μερῶν ἐπίσης τῶν τ᾽ ἔγγιστα καὶ τῶν πορρωτάτω, ἐφ᾽ ὧν ἑκάστων ἕκαστα χώραν ἔχει καὶ φύεται οὐδὲν ἧττον· καὶ τοῦτο παραπλησίως ἐρεῖν ἢ λογίσασθαι ῥᾷστα· κἀνταῦθα ἡ τῆς πόλεως πλεονεξία σφοδρὰ[196] ἢ κατὰ τὰς ἄλλας καὶ ἡ τῆς θαλάττης εὐκαιρία καὶ τὸ πρὸς ἅπασαν τὴν ἔνδειαν ἢ τὴν βούλησιν ἐντεῦθεν χρήσιμον, ἡ τῶν ἀγωγίμων εὐκολία καὶ πεζῇ καὶ θαλαττίοις ὀχήμασι, ὁπότερον ἄν τις βούλοιτο ἢ καθὼς ἂν ἀπαιτοίη τὸ τῆς φορᾶς ἀναγκάζον. Ὥσθ᾽, ὅταν τις καὶ πρὸς τοὺς τοσούτους ἀπίδοι τῆς φιλοκαλίας καὶ μεγαλοπρεπείας ὄγκους καὶ φόρους, μάλιστ᾽ εἶναι θαυμάζειν οὐ τὴν περιουσίαν μόνον καὶ τὴν εὕρεσιν ἀλλὰ καὶ τὴν ἰσχὺν ἑκάστων τῆς ἀγωγῆς καὶ τὴν τέχνην οὕτω δὴ προσλιπαρῆ καὶ τοῦ σκοποῦ τυγχάνουσαν, ὥσπερ ἂν εἴ τι τῶν οἴκοι καὶ ῥᾴστων, ὡς βούλοιτό τις, διοικοίη καὶ χρῷτο καθάπαξ ἀνυσίμως ὡς οὐδὲν ὂν πρᾶγμα τῇδε φέρειν καὶ μεταφέρειν οὕτω δὴ καὶ μεταποιεῖν τόδε τι, τὸ νῦν ἄλλο τί ποτ᾽ ὂν ἀπὸ τοῦδέ τινος ἄλλου ποτ᾽ ὄντος, πρὶν καὶ μετατιθέναι καὶ ὅλως ἀπολαύειν τῆς χρείας καθ᾽ αἵρεσιν ἡντιναοῦν (f.269^{v})ἐπιοῦσαν.

61. Αἴγυπτος ἐνθάδ᾽ ἡμῶν τῇ πόλει φέρει καὶ σικελικαὶ καὶ ἰταλικαὶ λατομίαι· καὶ Λιβύης ἀεὶ καινὰ καὶ τεράστια καὶ Ἰνδικῆς ἐκφύσεις καὶ γεωρυχίαι[197] καὶ μεταλλεύματα καὶ Ἀῤῥαβίας καὶ Ἀσσυρίας[198] καὶ Βαβυλωνίας καλλοποιοὶ λαμπρότητες καὶ πάσης ἄλλης ἐπίχρειος ἡτισοῦν γῆς φορὰ[199] τῇ πόλει· καὶ πᾶσα συντελὴς ἡ οἰκουμένη πρὸς τὸν μέγιστον τόνδε καὶ κάλλιστον τῆς πόλεως ἔρανον ὁ,τιοῦν χρήσιμον ἢ τοῖς κατ᾽ ἀνάγκην αὐτῇ ἢ τοῖς κατ᾽ ἐπίδειξιν· καὶ οὐδὲν ἀνόνητον[200], οὐδ᾽ ἀνεννόητον[201], οὐδ᾽ ἀζήτητον αὐτῇ,

---

[196] σφόδρα V
[197] γαιωρυχίαι V
[198] Ἀσσυρίας V^{pc} : Ἀσυρίας V^{ac}
[199] φορὰ iter. V
[200] ἀνόνητον V^{pc} : ἀνόητον V^{ac}

οὔκουν γε οὐδὲ δυσφόρητον ἢ πάντα τρόπον δυσάγκαλον μεταχειρίσαι καὶ ὑποποιήσασθαι, ἀλλ' ἅπαντα πάντοθεν ἥκει καὶ πληροῖ ταύτην δὴ τὴν κοινὴν ἑστίαν, ὥσπερ ἂν οἱ ἐκ τῆς χώρας καὶ τῶν ἀγρῶν ἀμητοὶ τοῖς ἑκάστοις προσοίκοις καὶ ἡγεμονικοῖς πολίσμασι· καὶ θαυμάζειν μέν ἐστιν ἐφ' ἑκάστοις τὴν ἑκάστων γένεσιν ἴσως σπανιωτάτην καὶ μονοειδῆ καὶ πρόοδον τῆς φύσεως, ταύτην μὲν ἐκείνῃ, τὴν δὲ ἐκείνῃ, καὶ ἴσως γ' ἔστιν ἐφ' ὧν καὶ τὴν αὐτὴν ἐξ ἀλλοδαπῆς ἢ βελτίω γε μὴν ἢ ἥττω, θαυμάζειν δὲ τὴν τῇδε φορὰν ἑκάστου καταμέρος καὶ μάλισθ' ὁμοῦ κοινὴν σύνοδον ἁπάντων ἐπὶ τῆς αὐτῆς πάντα καὶ λογισαμένης καὶ ζητησάσης καὶ ποιησαμένης οἰκεῖα τὰ τοῖς ἄλλοις <κατὰ>[202] τὸ μέρος οἰκεῖα καὶ πάντων παμπλήρους γενομένης ἐξ ἄλλοτ' ἄλλων καὶ πάντων ἀνενδεοῦς ὡς ἄρα καταμηδὲν ὁ,τιοῦν ἐλλείπειν· ἀλλ' οὐδέ γε μὴν ἐλλείπειν, οὐδὲ στενοῦσθαι πρὸς τὴν τῶν τοσούτων ὑποδοχὴν ἀλλ' εὐμεγέθη χώραν ὁρᾶσθαι καὶ ἱκανὴν παντελείως, εὖ μάλα χωρητικὴν ἐπίπαν τῆς ἑκάστων εὐδαιμονίας· καὶ ἔγωγε λοιπὸν ἀπορῶ καὶ θαυμάζω, καί μοι λογισμὸς οὗτος ἄληπτος εἰπεῖν, οὐχ ὅπως μόνον αὕτη τῶν τοσούτων ἅλις ἔχει καὶ κατὰ τὴν χρείαν ἢ ὑπὲρ τὴν χρείαν εἰς ὅ,τι πλείστην τὴν ἐπίδειξιν, ἀλλ' ὅτι καὶ ἅλις αὕτη πρὸς αὐτὰ τοσαῦτ' ἔχει καὶ πέφυκε διαρκῶς καὶ οἷα τέ ἐστιν ἔχειν ἐφ' ἑαυτῆς (f.270^{r})καὶ φέρειν καὶ οὐχ, ὡς εἰπεῖν, ἔπειτ' ἐπαχθίζεσθαι καὶ κάμνειν τοσοῦτον ἐπωμαδὸν οὐκ εὐάγκαλον, οὐδ' εὐκίνητον ἀλλ' ὑπερμεγέθη καὶ ὑπερφυῆ τὸν φόρτον ἀτεχνῶς ἀναθεμένη.

62. Καὶ τοσαύτη μέν ἐστιν, οἵα πάνυ τοι θαυμάζειν τὸ μέγεθος, τοσαῦτα δ' ἐπ' αὐτῆς ἀνέχει κάλλη καὶ οἰκοδομήματα καὶ σοφίσματα καὶ τέχνας καὶ ποικίλματα καὶ θεαμάτων παντοίων ἄχθη καὶ θαυμάτων καὶ τεραστίων, ὡς ἔτι

---

[201] ἀνεννοήτον V^{pc} : ἀνενόητον V^{ac}
[202] κατὰ addidi

μάλιστα θαυμάζειν ὅπως ἄρα τοῖς τοιούτοις ἀρκεῖ· καὶ γῆ μέν, ὅσην ὁ τῆς πόλεως ἐντὸς εἵργει περίβολος, οὐκ ὀλίγον οὐδ' εὐόριστον τοῦτο τῆς ὅλης γῆς τέμενος ἀληθῶς καὶ οἷον οὐκ ἄλλης εἴρηται πόλεως τοσοῦτο παράλληλα θεῖναι ἢ ὅ,τι ἔγγιστα· τοσαύτη δ' ἐπ' αὐτῆς ἡ δημιουργία τῶν ἐπιθέτων καὶ ἡ συνέχεια καὶ ἡ πυκνότης, οὐ μόνον τῆς ἐπιφανείας ἐπιλαμβάνουσα τὸ πᾶν ἀλλὰ καὶ πρὸς ὕψος ἄνω πάνυ τοι πλεῖστον καὶ πρὸς βάθος ἐξ ἐναντίας, κάτω δὴ παραπλησίως πάνυ τοι πλεῖστον χωροῦσα, οὐ τῆς χρείας ἕνεκα μόνον ἀλλὰ καὶ τῆς ἐπανθούσης ὥρας καὶ τῶν ἀνεχόντων κόσμων τε καὶ καλλωπισμάτων, ὥσπερ ἐπὶ παγκάλου σώματος ὁρῶμεν ἐνίοτε κάλλη πλεῖστα ἄττα λιπαρῶς ἐπικείμενα, κορυφαῖα, προμετωπίδια, ἐνώτια, περιδέραια[203], ὁρμίσκους, προστερνίδια, δακτυλίους, περιζώματα, περὶ τὰς χείρας ἄττα, περὶ τοὺς πόδας ἄττα, μᾶλλον δ', ὥσπερ ἐπὶ βριαροῦ καὶ γεννικοῦ τοῦ σώματος παντοίους ὁπλισμοὺς καὶ καταφράγματ', οὐ μόνον ἐπίχρεια τὸν εἰωθότα τρόπον ἀλλὰ καὶ πρὸς ἁβρότητα παντοίαν καὶ καλλονὴν ἠσκημένα. Τοσαύτη δ' οὖν ἡ ἐπ' αὐτῇ πανήγυρις σκηνοποιεῖται τῶν ἀναγκαίων τε καὶ τῶν εἰς χάριν ἅπασαν, ὥστ' ἐξαπορεῖσθαί τινα δικαίως ὁρῶντα πῶς ἐπὶ τῆς τοσαύτης καίτοι γε τοσαύτης οὔσης τὰ τοσαῦτα δράματα καταρτίζεται καὶ χωρεῖ καὶ εἰσοικίζεται· καὶ φέρει μὲν αὕτη ταῦτ' ἐπ' αὐτῆς ἱκανά τε καὶ ἀζήμια, μένει δ' αὖθις αὕτη κάλλιστ' ἀνεπαχθὴς καὶ ἀζήμιος (f.270^{v})ὑπ' αὐτά, οὔτ' οὐδὲν ἐλλείποντ' αὐτὰ[204] οὔτ' οὐδὲν ἐλλείπουσ' αὐτή, ἀλλ' ὡς ἂν κοσμιώτατα καὶ σῶα καὶ ἀμφότερ' εἶναι καὶ ὡς ἂν παρ' ἀλλήλων ἀμφοτέροις ἔχειν κοσμιώτατα καὶ πρέπειν ἀλλήλοις καὶ προσήκειν ἐντελέστατα καὶ μηδὲν εἶναι ἀηδὲς[205] μὴ δ' ἀνοίκειον μὴ δ' ἀνάρμοστον οὐθετέροις καθάπερ ἐπὶ τῶν ἄνωθεν νῦν εἰρημένων ὑποδειγμάτων.

---

[203] περιδέῤῥαια V
[204] οὔτ' οὐδὲν ἐλλείποντα αὐτὰ V^{mg}
[205] τἀηδὲς V

Μεγίστη μὲν ἡ ἀπειροκαλία, πλείστη δὲ ἡ ἀηδία, ἦν ἄρα τις τῶν ἱκανῶν καὶ ξυμμέτρων ἐπιφορτίζοιτο πλείω ἢ τῶν εἰς κάλλος ἢ τῶν εἰς φυλακήν, ὥς γε κατ' ἀμφότερ' εἴρηται· καὶ πολλὴ μὲν ἡ ζημία, πολλὴ δ' ἡ ἀκαιρία καὶ τὸ αἶσχος εἰς προὔπτον, καθόλου δ' ἐρεῖν ἂν ἔχοιμεν, ὡς οὔτ' οὐδεὶς ἀνθρώπων, ὅσοι τῶν ἐκ τοῦ παντὸς αἰῶνος, οὔτ' ὄψεσιν εἶδεν οὔτ' ἰδεῖν ἐφαντάσθη πώποτ' ἔτι οὔτ' ἐλογίσατο οὔτε φύσιν ἔχει λογίσασθαι, πρὶν ἰδεῖν, οὔτε τοσαῦτ' ἄρα μέγιστ' ἔργα καὶ θαύματα οὔθ' ὕλης τοσούτους πορισμοὺς καὶ περιουσίαν οὔθ' ἁπάσης τέχνης ἀκρίβειαν, ἐπίδειξιν περίεργον[206] εἰς τὰ κατὰ πρόθεσιν ἕκαστ' ἔργα ταῦθ', ὁμοῦ γενόμενα πάντα, καὶ μίαν σύνοδον ἐφ' οὑτινοσοῦν χώρου, κἂν ὁ μέγιστος, ὡς ὅδ' ὁ μέγιστός ἐστιν, ἐφ' ἑνὸς δ' οὖν ὅμως οὐδενός, μᾶλλον δέ, (τί λέγω;) οὐδ' ἐπὶ πλείστων ἀληθῶς καὶ πάνυ τοι πλείστων οὐδ' ἔχει φύσιν, ὅποι ποτ' οὖν, ἢ τῇδε μόνον ἐδείχθη τουτὶ προνοίας, ὡς ἔοικεν, ὅλον ἔργον καὶ μόνον ἄνωθεν ἐκ Θεοῦ πρὸς ἐπίδειξιν κράτους παντουργοῦ καὶ πανσόφου τῶν βελτίστων· καὶ μονοειδὲς ἓν ἐπὶ γῆς τόδε δημιούργημα, ὡς ὁ ξύμπας οὑτοσὶ κόσμος αὐτὸς μόνος καὶ Θεοῦ μόνου καὶ οὐρανὸς αὐτὸς μόνος καὶ Θεοῦ μόνου καὶ γῆ τὸν αὐτὸν ἀμέλει τρόπον καὶ ἡλίου κάλλος καὶ κράτος ἐν τοῖς κατ' οὐρανόν· καὶ πολλῶν οὐκ ἔχει φύσιν ὁμοῦ τὰ τῆς πόλεως εἶναι ὡς ἔστιν, ἔκ θ' ὧν ὁρῶμεν, ἔκ θ' ὧν λογιζόμεθα, σωφρονοῦντας, ὡς ἔπος εἰπεῖν, ἡμᾶς συλλογίσασθαι ξυμμετρησαμένους τά τε ὄντα καὶ τὰ δίκαια τῆς φύσεως· καὶ μὴν τοσοῦτ' ἄρα δὴ τὸ θαῦμα τῆς παμπληθοῦς καὶ παγκάλου (f.271[r])τῶν[207] εἰρημένων συνόδου τῇ πόλει καὶ ἀδοκήτου τοιγαροῦν καὶ ὑπερφυοῦς ὡς ἄλις ἂν εἶναι ταύτῃ καὶ ὅ,τι μάλιστα καὶ ὡς ἂν αὖθις τὰ πρῶθ' ὅμως ἁπασῶν ἀναμφηρίστως φέρεσθαι.

---

[206] περιεργίαν V
[207] τῶν iter. V

63. Κἂν εἴ τινα τῶν ταύτῃ προσόντων ἀπῆν καὶ πλείστων, ἐμοὶ δοκεῖ, τῶν νῦν ἐπ᾽ αὐτῆς ἐνέδει καὶ ἦν αὐτῶν ἐρημία τῇ πόλει, καὶ πολλαῖς ἂν ἀρκεῖν τὰ λειφθέντα καὶ πολλαῖς ἂν ἀρκεῖν εἰς τὰς πρώτας φιλοτιμίας καὶ τὰς πρὸς ἀλλήλας ἔριδας ἀεὶ τῶν πρωτείων καὶ πολλαῖς ἂν ἀρκεῖν τὰ προσόντα ταύτῃ κατ᾽ ὀλίγα μερισαμέναις ἔπειτ᾽ ἀγάλλεσθαι καὶ δείκνυσθαι καὶ δοκεῖν ἁβρότατ᾽ εἶναι παμπληθὲς αὖται καὶ σεμναὶ σεμνῶς καὶ κάλλιστ᾽ ἔχειν ὅ,τι μάλιστα· καὶ πολλαὶ πρίαιντ᾽ ἄν, εἰ οἷόν τ᾽ ἦν, καί τινα τῶν αὐτῆς ἀφορμὴν αὐταῖς ἐπιδείξεως πλείστης καὶ τῶν προσόντων ἀλλάξαιντ᾽ ἂν ἡδέως εὖ μάλα, καὶ οὐ λέγω τῶν ἁπλῶς οὑτωσὶ πόλεων ἀλλὰ τῶν πάνυ καὶ ὧν ὀλίγα λογίζεσθαι μὲν ἀλλὰ μεγάλα τὰ ὀνόματα καὶ πάνυ τοι κατ᾽ οὐρανοῦ καὶ γῆς εὐαρίθμητα· καὶ μήν, οἶμαί γε, ἂν ἀποχρώντως εἶχεν ἀπολαβούσαις[208] ταῦτα δὴ κατ᾽ ὀλίγα ἔπειτ᾽ αἴρεσθαι καὶ μέγα φρονεῖν, καὶ οὐ λέγω τὰ πάντων ὅσα βέλτιστα οὐδ᾽ ὅσα πλεῖστα, πολλοστὰ μὲν οὖν καὶ ὅσα καταλογίσαιτ᾽ ἄν τις ῥᾳδίως· καὶ ταῦθ᾽ ὁμοῦ κοινῇ μόνη κάλλιστ᾽ ἐπιλεξαμένη πάνθ᾽ ἡ πόλις ἡμῖν ἔπειτ᾽ οὐκ ἀρκεῖσθαι δοκεῖ οὐδ᾽ ἔχειν ἠρέμα λοιπὸν οὔτ᾽ οὐδὲν ἀπραγμόνως ἀλλ᾽ ἔτι καὶ περαιτέρω διαπαντὸς ἐπείγεται καὶ πειρᾶται καὶ προστίθησι τὸν ἀεὶ χρόνον, ἐφ᾽ ὅσον οἷόν τέ ἐστι, τῶν μεγίστων [καὶ προστίθησιν τῶν][209] καλλωπισμάτων· καὶ μόνης ἐστὶν τοῦτ᾽ αὐτῆς οἷαν τ᾽ εἶναι προστιθέναι καὶ μόνοις τοῖς αὐτῆς χρῆσθαι ἄτ᾽ οὐδὲν ἐξὸν ἔτ᾽ ἀλλοτρίοις ἔξωθεν οὔτ᾽ οὐδὲν ἀπολειφθέν, ὡς εἰπεῖν, αὐτῆς ἔξω ἀλλὰ τοῦτο μόνον λοιπὸν ἀμέλει, τοῖς αὐτῆς χρῆσθαι λειψάνοις καὶ μεταποιεῖν ὁπηοῦν ἄρα βέλτιον καὶ ἀντανιστᾶν (f.271^{v})τοῖς ἤδη καταγηράσασιν ἢ μάλιστα τοῖς ἤδη νεκροῖς καὶ κειμένοις νεανθῆ καὶ κάλλιστα· καὶ ἀεὶ κατεπείγεται ταῖς δημιουργίαις καὶ ταῖς κατασκευαῖς καὶ προσπονεῖ νέα καὶ φιλοτιμεῖται· καὶ

---

[208] ἀπολαβούσαις V^{pc} : ἀπολαυούσαις V^{ac}
[209] καὶ προστίθησιν τῶν seclusi

οὐκ ἀπέκαμεν ἔτι πω καὶ νῦν τοσαῦτα ἤδη τοῦ παντὸς αἰῶνος ἔτη, οὐδ' ὑφήκατο τῆς φιλοτιμίας οὔτε μὴν τῆς χορηγίας οἴκοθεν καὶ φθίνουσα κατὰ φύσιν ὡς τἆλλ' ἅπαντα. Ἡ δέ, καινότερον ἢ κατὰ τἆλλ' ἅπαντα καὶ σχεδὸν ὑπὲρ φύσιν, οὐχ ἡττᾶται λοιπὸν ἔπειτα καὶ ὀψὲ τῶν χρόνων οὐδὲ δίδωσιν <ἑαυτὴν>[210] ὅλως τῇ φύσει ἀλλ' ἀνθεῖ διόλου ταῖς φοραῖς καὶ ταῖς νεουργίαις· καὶ ὅπερ ἐπὶ τοῦ παντὸς τοῦδε τοῖς φυσικοῖς λόγος, ὡς ἡ τοῦ παντὸς αὐτοῦ φθορὰ συνεχὴς[211] καὶ[212] καθ' ἕκαστον[213], κατὰ μέρη δηλαδή, τοῦ παντός ἐστιν ἀεὶ καὶ συνεχὴς οὐσία καὶ γένεσις καὶ ἄπαυστος φυλακὴ καὶ μονή, κατὰ μέρη δηλαδὴ καὶ τοῦτο, καὶ τὰ μέρη φθίνοντα τὰ δ' ἕκαστ' ἐπάλληλα τὰ μέρη λοιπὸν προΐησιν αὖθις εἰς τὸν βίον καὶ παρασκευάζει καὶ γεννᾷ νέα, τὰ δ' ἕκαστ' ἐπάλληλα, μᾶλλον δὲ ὑπάλληλα· τοῦτο δὴ καὶ τὴν πόλιν ὁρῶμεν κατὰ τὸ ὑπόδειγμα φθίνουσαν ἑκάστοτε καὶ νέαν ἀεὶ καὶ τῷ χρόνῳ παλαιουμένην, ἀργοῦσαν ἀεὶ καὶ οὕτως ἐνεργῇ τῷ χρόνῳ καὶ τῆς τῶν θνησκόντων ὕλης καὶ παρασκευῆς καὶ τῶν νεκρῶν θησαυρῶν κατὰ τὸ ὑπόδειγμα ἀεὶ καινὰ ζωοφοροῦσαν καὶ ὥσπερ ἐπὶ σκηνῆς ἑκάστοτε δράματα νεοπαγῆ προφαίνουσαν ἀτεχνῶς κατ' αὐτὸ τὸ τοῦ παντός, ὡς ἄρ' ἔφην, εἴκασμα ἦ, μᾶλλον εἰπεῖν, ἀτεχνῶς μεγίστης ἰδέας μεγίστην γιγνομένην εἰκόνα, εἰ δὲ βούλεταί τις, κατὰ Πλάτωνα μεγίστης ἰδέας μέγιστον ἔργον τόδε καὶ ποίημα καὶ καλλίστης κάλλιστον, εὖ μάλα ξυμβαῖνον, εὖ μάλ' ἀναλογοῦν· καὶ οὔποτε παύει κατασκευαζομένη, οὔτ' ἐλλείπει τῆς ὕλης, οὔτ' ἐνδίδωσι τοῦ φιλοτίμου καὶ ὑποχωρεῖ τοιγαροῦν ἀμηγέπη, οὔτ' ἀποχωρεῖν οὔτ' ἀποχρῆναι καὶ ὁπηοῦν ἀμέλει τῆς ἐργασίας ἀξιοῖ καὶ χρῆναι (f.272[r])πεπαῦσθαι, ἡ δὲ διόλου σπουδάζει τῶν τοσούτων ἐτῶν, ὥσπερ ἂν εἰ νέον καὶ χθὲς ἤδη καὶ προτρίτης ἠργμένη.

---

[210] ἑαυτὴν addidi
[211] συνεχὴς V[pc] : συνεχῶς V[ac]
[212] καὶ V[sl]

64. Καὶ τό γε δὴ κάλλιστον καὶ ὃ μάλιστ᾽ ἄν τις θαυμάσαι τῆς μεγαλοψυχίας, ὡς αὕτη γε οὐδ᾽ ἀρκεῖται τοῖς ἐντὸς καὶ κατ᾽ αὐτὴν μόνοις δημιουργήμασί τε καὶ θαύμασιν, ἐπὶ τοσούτου καὶ ταῦτα τοῦ θεάτρου κατ᾽ αὐτὴν καὶ τοῦ μεγέθους, ἀλλ᾽ ἄρ᾽ ἥδε καὶ τοῦ περιβόλου πρόεισιν ἔξω καὶ ἁπαντᾷ τοῖς εἰσαφικνουμένοις προαστράπτουσα καὶ προδεικνῦσα τὰ τῆς ἔσω λαμπρότητος· καὶ οὐκ ἐν προθύροις μόνον, ὡς εἰπεῖν, εὐτυχέσι τῷ τῶν ἁπάντων ἀγαθῷ θαλάμῳ χρυσέας προΐσταται κίονας οὐδ᾽ ἐν ἀρχαῖς τοῦ παντὸς ἔργου τὰ πρόσωπα τίθεται τηλαυγῆ καὶ φαιδρύνεται συνεχῶς ἔγγισθ᾽ οὑτωσί, προήκει δὲ λοιπὸν ἔτι καὶ περαιτέρω πλεῖστον, οὐκ ἐπὶ τῆς ἠπείρου μόνον τῆς τε συνεχοῦς ἑξῆς καὶ τῆς ἀντιπέραν ἐξ ὑπογυίου καθ᾽ ἕω ἀλλ᾽ ἄρα καὶ τῆς συνημμένης καὶ γείτονος θαλάττης αὐτῆς καί, ὧν ἄνω πρότερον εἴρηται, νησιδίων ἐγκατεσπαρμένων προΐσχεται τῇ πρὸς αὐτῆς ἔγγιστα θαλάττῃ, καθάπερ ἐν προαυλίοις, αὐτὴ κόσμον οἷον[214] σὺν ὥρᾳ πλείστῃ· καὶ πρός γε μὴν ἔτι πῶς ἄν τις ἐροῖ[215] καὶ προσθείη νῦν εἶναι καὶ ὅσα πλεῖσθ᾽ ὁ στενὸς οὑτοσὶ καὶ ὀλίγος ἀνάπλους, τὸ τοῦ παντὸς ἥδιστον κόσμου θαῦμα, δείκνυσιν ἀνεστῶτ᾽ ἐφ᾽ ἑαυτοῦ καὶ κατῳκοδομημένα καλλωπίσματα, νεώς τε καὶ μοναστῶν συνοικίας καὶ περιβόλους καὶ παντοίας ἄλλας [κατα][216]κατασκευὰς δημοσίας τε καὶ ἰδιωτικὰς τῶν εὐδαιμόνων ἐποίκων τῆς πόλεως, καὶ ταῦτ᾽ ἐπὶ τῶν ἠιόνων ἥδιστα ἐπικρεμάμενα τοῦ πορθμοῦ καὶ καθάπερ ἐπὶ τῶν ὑγρῶν ἑστῶτα καὶ ἡδρασμένα, πῶς ἂν εἴποι τις, τοὺς παραπλέοντας ἑκάστοτ᾽ ἀεὶ τερπνότατα παραπέμποντα καὶ πρὸ τῶν ἠιόνων μικρὸν ἐφ᾽ ἑκάτερα τοῦ πορθμοῦ, κύκλῳ πάντῃ, ἀτεχνῶς σχῆμα χοροῦ, τρυφὴ πρὸ τῆς πόλεως προσορᾶν, καὶ

---

[213] ἕκαστον V[pc] : ἑκάστην V[ac]
[214] κόσμον οἷον V[pc] : κόσμων οἵων V[ac]
[215] ἐρεῖ V
[216] κατα seclusi

(f.272^{v})παράδεισος πρὸ αὐτῆς ἀναφύων ταῦτα δὴ καὶ προανίσχων τὰ πολυφορώτατα φυτὰ καὶ καρποὺς εὐανθεῖς καὶ θάλλοντας ἀεὶ καὶ τερπνοτάτους καὶ ἡδίστους προσβλέπειν τε καὶ χρῆσθαι καὶ ταῦθ' ἅπαντα πολλῆ τε γλυκυθυμίᾳ· καὶ σφόδρα πάρεστι θαυμάζειν τοῖς θεωμένοις, ταῦτα μὲν ὡς μεγέθει μέγιστα, ταῦτα δὲ ὡς κάλλει κάλλιστα, ταῦτα δὲ ὡς ἀμφότερα· καὶ μήν, εἴ τις δῆτ' ἐρεῖ κἀνταῦθα τὰ τῶν παλαιῶν ἐκεῖνα ἥδιστά τε καὶ κάλλιστ' εἰρημένα, ὡς ἀστέρες ταῦτα καθάπερ σελήνην τὴν πόλιν οὐκ ἐγκλείοντες μὴν ἀλλ' ἔξωθεν κόσμῳ κυκλοῦντες καὶ καλλονὴν ἀμύθητον τοῖς ὁρῶσι προπέμποντες, ὡς ἀκτῖνες (αὖ τοῦθ' ἕτερον) προανίσχουσαι τῆς πόλεως, αἷς ταύτην ὥσπερ τὸν ἥλιον ἔξεστι τεκμαίρεσθαι, καὶ εἴ τι παραπλήσιον, μάλιστ' ἄν μοι δοκῇ κατακαιρὸν ἐρεῖν ἐνταῦθα πλεῖν ἢ κατ' ἄλλην ἡντιναοῦν χρείαν ταῦτα δὴ καὶ ὡς ἂν αὐτοὺς δὴ τοὺς ὁρῶντας ἐπιμαρτύραιτο· καὶ μὴν ὥσπερ, οἶμαι, τοῖς φιλοτίμοις τῶν ἀβρῶν καὶ πλουσίων οὐκ αὐτοῖς μόνοις ἐστὶν ὁ πλοῦτος κόσμος οὐδ' ἀγάλλονται μόνοι καθ' αὑτοὺς ἐλλαμπρύνεσθαι τῇ περιουσίᾳ καὶ ταῖς μακραῖς οὐσίαις ἀλλ' ἥκει σφίσιν ἄρα καὶ πρὸς ἄλλους εὐγενῶς τὸ τῆς οὐσίας κράτος καὶ μεγίστην ἐπίδειξιν τῆς εὐδαιμονίας ἀξιοῦσιν, ἤ, μᾶλλον εἰπεῖν, ἀπόδειξιν, ἣν ὅ,τι πλείστους εὖ ποιεῖν τῶν προσόντων δύναιντ' ἂν καὶ οὐκ ἄλλως ἕλοιντ' ἂν πλουτεῖν οὐδ' ὡς ἀρκεῖν μόνοις σφίσιν οὐδέν, τοῦθ' ἥγηνται μέγα, τὸν αὐτὸν ἀμέλει τρόπον ὁρᾶν ἔξεστι καὶ τὴν πόλιν αὐτὴν χρωμένην· καὶ τὰ μέγιστα γὰρ δυναμένη καὶ τὰ μέγιστα κοσμηθεῖσα ταῖς παντοίαις ἐπιτηδεύσεσι καὶ κατασκευαῖς, καὶ ὡς οὐκ ἄν τις λογίσαιτο οὐδ' ἔστι ὅλως[217] φύσις τοσοῦτο πρᾶγμα λογίσασθαι, πρὶν ἰδεῖν, μᾶλλον δ', ὡς ἔστιν εὖ μάλα θαυμάζειν ἰδόντα καὶ ἀπορεῖν καὶ περὶ τῆς τέχνης ἁπάσης καὶ περὶ τῆς παντοίας ὕλης τοσαύτης, οἵας ἀμυθήτου, ὅθεν ἐπορίσθη τῇδε καὶ

[217] ὅλως V^{mg}

(f.273^{r})ἀμφότερα καὶ εἰ δύναται τὰ τοιαῦτα τέχνη μὲν ἀσκεῖσθαι καὶ καταδημιουργεῖν καὶ χρῆσθαι τῇ σοφίᾳ, ἡ δ' οἰκουμένη πᾶσα δοῦναι τὴν τοσαύτην τῆς ὕλης φορὰν καὶ χορηγίαν, καὶ μὴν αὖθις ὁ χρόνος ὅπως ἀμφότερα καὶ ἤνεγκεν εἰς τὸν βίον καὶ ἥρκεσεν ἐνεγκεῖν ὅλως καὶ ὁμοῦ ταῦτα, οὕτω δ' οὖν ἡ πόλις ἔχουσα κράτους, οὕτω κάλλους, οὕτω δὴ καθόλου τῶν προσόντων, οὕτω πάντοθεν ὁρωμένη μεγίστας ἀφορμὰς πράττουσα θαυμάζειν, καὶ τοῦθ' ὡς οὐκ ἂν δύναιτό τις ἀξίως, ἡ δὲ καὶ πᾶσιν ἄλλοις ἔξω τὴν χρείαν μεταδίδωσιν ἀφθονώτατα καὶ ῥᾷστ' οἴκοθεν τῶν προσόντων καὶ τῆς οὐσίας καὶ πλουτεῖν σφίσι μεταδίδωσιν, οὐκ εἰς τὴν ἀναγκαίαν μόνον χρῆσιν ἀλλ' ὅστις καὶ περαιτέρω πρὸς ἐπίδειξιν ἐπιμελὴς καὶ χρῆσθαι πάνυ τοι μετὰ ῥᾳστώνης καὶ δαψιλείας, ἧς ἂν ὁστισοῦν αἱροῖτ' ἀποχρώντως, τοῖς αὐτῆς ἐλλείμμασι καὶ τοῖς αὐτῆς τῷ χρόνῳ κατηργημένοις καὶ γηράσασι καλλίστοις, ὡς οὐκ ἔστιν ὁθενοῦν ἄλλοθεν νεαροῖς οὔθ', ὅλως εἰπεῖν, ἐστὶν ἄλλοθεν.

65. Μεταδίδωσι μέν γε λαμπρὰ λαμπρῶς καὶ μεγαλοψύχως καὶ ὧν ἀμφοτέρων εἴρηται καὶ τέχνης ἁπάσης καὶ ὕλης παντοίας καί, ὡς ἔπος εἰπεῖν, ὅτου δεῖ καί, ὥσπερ οἱ βασιλεῖς ἀπὸ πάσης τῆς ὑπηκόου τοὺς φόρους, καὶ αὕτη πάντων τὰ προσήκονθ' ἑκάστοις ἀρχικῶς πραττομένη καὶ πάντα πάντοθεν ἐπιμελῶς κομισαμένη καὶ εἰς ἓν ἐνθάδ' ἀγαγοῦσα· καὶ τοῦτο φθάσαντες εἴπομεν. Ἔπειτα λοιπὸν καὶ πλουτίζει καὶ νέμει καὶ μεταδίδωσι τοῖς ἄλλοις εὐδαίμονος βίου, καὶ τοῦτο βασιλικῶς, ὡς ἄρ' εἰώθασιν οἱ ἐπὶ ταῖς ἀρχαῖς ἐλευθερίως τε καὶ γεννικῶς χρώμενοι καὶ παρέχοντες τοῖς ὑπὸ χεῖρας πάσης ἀφορμὰς εὐπραγίας. Τοιγαροῦν ἥκει πάντα τοῖς ἄλλοις ἐντεῦθεν καὶ οἱ φιλόκαλοι πάντα πράγματα καὶ πάσας δημιουργίας περὶ πάντας χώρους καὶ πόλεις ἐν(f.273^{v})τεῦθεν θαῤῥοῦντες πειρῶνται τῶν κατὰ σκοπὸν ὁτουοῦν καὶ φέρονται πᾶσαν ἐντεῦθεν τὴν χρείαν ἢ τέχνην ἢ ὕλην ἢ καὶ ἄμφω μάλιστα· καὶ λατομίαι πᾶσαι

μὲν ἐπέλιπον, αἱ πανταχοῦ κενωθεῖσαι, τῇ πόλει· καὶ πάντες, ὡς ἔπος εἰπεῖν, ἄνθρωποι πορισταί· καὶ χῶροι τῆς παντοίας χρήσεως τὸν αὐτὸν ἐπέλιπον τρόπον καὶ διὰ τὴν αὐτὴν αἰτίαν τῆς πόλεως. Ἡ πόλις δ' ἐπαρκεῖ πᾶσιν οἷς ἄρα δεῖ, ὧν ἄρα δεῖ, ὧν ἁπάντων πάντοθεν ἐκομίσατο· καὶ πάντα πάντων μεταλαβοῦσα καὶ θησαυρίσασα πάντα πᾶσι μεταλαμβάνειν αὐτῆς δίδωσι καὶ χρῆσθαι τοῖς αὐτῆς καὶ τῇ καλῇ παρασκευῇ καὶ τῶν αὐτῆς οἴκοι θησαυρῶν δίδωσιν ἀπολαύειν. Οὔκουν γέ ἐστιν ἐνδεῖν ὁτῳοῦν ὁτὲ τῶν χρόνων, μᾶλλον δὲ τῶν χρόνων ἀεί, τῆς ἐντεῦθεν χορηγίας τῇ πόλει οὐδὲ τῶν πόθων ἐλλείπειν ὠντινωνοῦν καὶ τῆς σπουδῆς καὶ τῆς προθέσεως οὐδ' αὐτῇ γε τῇ πόλει πρὸς ἅπασαν ἐνδεῖν ἁπάντων αἴτησιν τῆς ἐξ αὐτῆς χορηγίας, ἀλλ' ἄφθονα πᾶσιν ἐντεῦθεν ῥέει τῆς χρείας· καὶ ἡ πόλις πλήρης ἀεί, καθάπερ ἡ θάλασσα τοῖς ἀεὶ χορηγοῦσιν αὐτῇ ποταμοῖς καὶ παντοίαις ἐπιῤῥοίαις καὶ ἐπαντλήσεσιν, οὔτ' οὐδὲν αὔξει τῶν προσηκόντων ὁρισμάτων ἐπιτυχοῦσα οὔτ' οὐδὲν ἐλλείπει πάντοθεν πάντων ἐξαντλουμένων καὶ καταβιαζομένη τοὺς ἀπαραιτήτους τῆς φύσεως δασμοὺς ἄνωθεν καὶ τὸν ἀεὶ χρόνον ἄφθονος ἀποδιδοῦσα.

66. Ἐνεθυμήθην δὲ ἔγωγ' ἐνταῦθα νῦν εἶναι ὃ πρότερον εἴρηται περὶ τῆς τοῦ παντὸς φύσεως ὑπόδειγμα· καὶ γὰρ δή, καθάπερ ἐπὶ τῆς κυκλικῆς τοῦδε τοῦ παντὸς περιφορᾶς ἔχει καὶ κινήσεως, ὡς ἄπαυστον ἡ φύσις κάματον αὐτουργίας ἔχει πᾶσαν μὲν ἐκ τῶν κάτωθεν ἀνέλκειν ὑγρότητα καὶ πλεῖστα τὸν ἀεὶ χρόνον περὶ τοῦτο πονοῦσα καὶ τυραννουμένη, μᾶλλον δὲ τυραννοῦσα καὶ βιαζομένη, καὶ φέρουσα πάλιν αὖθις ἀποδίδωσι τοῖς κάτω τὴν αὐτὴν καὶ οὐκ ἀλλοτρίαν φορὰν καὶ (f.274^{r})ἀντιδίδωσι τὰ ῥεύματα καὶ ποταμοὺς ἄνωθεν ἐκ τῶν πηγῶν τούτων πέμπει· καὶ ἃ πράττεται μετ' ἰσχύος ἀπολαμβάνουσα, πραττομένη λοιπὸν ἑκοῦσα καὶ ἄκουσα νόμοις ἀλύτοις ἀποδίδωσι καὶ κυκλοῖ τὸν ἅπαντα αἰῶνα καὶ περίεισι καὶ χορεύει τὴν ἄληκτον ταύτην καὶ ἄλυτον

καὶ ἀπαίτησιν ἀλλὰ καὶ ἀποποίησιν καὶ ἀπόῤῥοιαν καὶ ἀπόδοσιν καὶ τὰς περιστροφὰς ταύτας ἢ καὶ ἀντιστροφὰς τῶν ἐράνων τυραννοῦσα τὸ μέρος, ὡς ἔφην, καὶ τυραννουμένη καὶ νομίζουσα φόρους λαμβάνειν τῆς φύσεως ἀλλὰ καὶ διδόναι καὶ χάριτας ἑτοιμότατα καὶ γεννικῶς ὑποδεχομένη καὶ μεγαλοψύχως ἀντιδιδοῦσα καὶ ἀντιπέμπουσα, καθάπερ ταὐτὸ τοῦτο καὶ κάτω γιγνόμενον ἔξεστιν ὁρᾶν. Ἕλκει μὲν εἰς βάθος ἡ γῆ τὰς πάντοθεν ἔγγιστ' ἰκμάδας καὶ τῆς ὑγρᾶς οὐσίας τὰς ἀφορμάς, ὅπῃ ἂν ἄρα δόξῃ τῶν αὐτῆς ἐπικαίρων εἰς ὑποδοχὴν τόπων καὶ ἀποῤῥήτων ταμείων κάτω. Λαβοῦσα δὲ καὶ ὑποδεξαμένη καὶ ταμειουχήσασα τοὺς θησαυροὺς τῶν ῥευμάτων ἐν τοῖς ἐπιλέκτοις τῶν ἀγγείων τε καὶ τῶν χώρων ἥδ' ἀτεχνῶς αὐτίκα παραχρῆμα δείκνυσι, ὡς ὁ λόγος, αὐτῇ ῥέοντα τὰ πράγματα· καὶ τὸν πολὺν πόνον τοῦτον καὶ πλοῦτον καὶ κατασχεῖν οὐκ ἔστιν οὐδὲ περιγενέσθαι τῆς φρουρᾶς, ἀλλὰ διαῤῥήγνυται πολλαχῇ καὶ τὰς πηγὰς ἀνασχισαμένη τοὺς τῶν ποταμῶν ἐκθέοντας ἀκαμάτους δρόμους ἀπωθεῖται τῶν αὐτῆς καὶ ἀπαντλεῖται κατὰ τὸ μυθῶδες, εἰπεῖν, τῶν τετρυπημένων πίθων ὑπόδειγμα ταῦτα δὴ ταῦτα κατὰ τοὺς τῆς φύσεως ἀσαλεύτους ὅρους καὶ πόνους καὶ δρόμους καὶ τὴν λυσιτελῆ τοῦ κόσμου παντὸς αὐτουργίαν καὶ διοίκησιν καὶ λειτουργίαν ἄπαυστον ἀεὶ καὶ ἀκμάζουσαν ἀεί. Καὶ ἡ πόλις, ἔοικε, μιμησαμένη τὴν τοῦ παντὸς οὐσίαν δείκνυσιν ἐφ' ἑαυτῆς ἀρχετύπου τε καλλίστου καὶ μεγίστου κάλλιστον (f.274^{v})αὐτὴ καὶ μέγιστον ἐκτύπωμα καὶ κάτοπτρον τῆς ἀριστουργίας τῶν ὄντων καὶ τῆς τοῦ πρώτου καὶ μόνου δεσπότου καὶ δημιουργοῦ ποικιλίας καὶ σοφίας περὶ τὴν τῶν ὄντων γένεσιν καὶ ἀγωγὴν ἀεὶ καὶ μονήν, ὡς ἄρα οἱ ἔδοξεν ἄρισθ' ἡρμόσθαι καὶ κάλλιστ' ἔχειν καὶ ἀσφαλέστατα καὶ πράττειν εὖ, λαμβάνουσα μὲν αὐτὴ πάντα πάντων, ῥέουσα δ' αὐτὴ πᾶσι πάνθ', ὧν ἂν χρὴ καὶ βούλοιντ' ἄν, ἀδαπάνητος καὶ ἀεὶ φέρουσα πάνθ', ὅμως πάντ' ἀεὶ διδοῦσα,

καὶ ἀεὶ διδοῦσά τε καὶ κενοῦσα, ἀτὰρ πάντων ὅμως ἀεὶ πλήρης οὖσα τῶν καλλίστων τε καὶ ὑπερφυῶν καὶ θαυμάζειν ἀξίων· καὶ οὐκ ἐπίπαν ἀπορεῖ οὐδ' ἐκλείπει διόλου χορηγοῦσα· καὶ μὴν οὔθ' ὅλως ἐπιλείπει, οὔτ' ἔλαττον ἔχει τῶν αὐτῆς ἢ πρότερον, οὐ τῶν παλαιῶν, οὐ τῶν νέων, ἀλλὰ τοῖς τε προτέροις ἀκμάζει συνεχῶς αἰεὶ καὶ τὰ νέα προστίθεται αἰεί. Καὶ κόσμοι μὲν κόσμους ἔστιν ὅτε καὶ οἷς ἐκδέχονται καὶ φθειρομένοις ἐπεγείρονται νέοι, τῇ δὲ τὸ κλέος τε καὶ τὸ κάλλος ἄσειστον καὶ ἀνθεῖ διαπαντὸς ἄφθαρτον, οἷον ἀλώβητον· καὶ μένει μὲν τοῖς παλαιοῖς ἄσυλος, κρατύνεται δὲ τοῖς ἀεὶ νεοδμήτοις ἥκουσι, καὶ τούτων τοῖς ἱεροῖς μάλιστα καὶ Θεῷ καὶ τοῖς θείοις προσήκουσιν εὖ ἡδράσθαι μοι δοκεῖ μᾶλλον. Καὶ τὰ μὲν ἄλλα παραδραμεῖν μοι δοκῶ· ἢ τί γὰρ ἄν τις χρήσαιτο πρὸς τοσαῦτα;

67. Ἀλλ' ὅλη τί[218] ἐστιν ἡ πόλις ἀποτεμένισμα θεῖον ἐκ πάσης τῆς γῆς καί, ὡς εἰπεῖν, ἱερά τις ἀπαρχὴ καὶ ἀνάθημα τῆς οἰκουμένης καὶ διὰ πάντων μερῶν ἥγνισται καὶ Θεῷ προσανέχει. Νεώ τε γὰρ αὐτὴν πανταχοῦ διειλήφασι καὶ ἱερῶν οἴκων ἀριθμοὶ τόσοι καὶ τόσοι καὶ οὐ ῥᾴδιοι λογίσασθαι· καὶ ὃν τρόπον οἱ φρουροὶ ταῖς ἄλλαις ἔχουσι πόλεσιν ἐγκατεσπαρμένοι, τοῦθ' ἡ πόλις ἀτεχνῶς προΐσχει τοὺς νεὼς τούσδε καὶ τὴν τῶν ἱερῶν ἐπιμέλειαν ἀντ' ἀριθμοῦ φρουρούντων κατ' ἄλλους ἄλλα μέρη κατεσπαρμένους, ὡς ἂν πρὸς τὸ μέγεθος αὐτῆς ἀποχρώντως· (f.275[r])καὶ μὴν ἔστι φρούραρχος ἄνωθεν ἐξαρχῆς, ἔνθ' ἄρα προσήρτηται τῆς πόλεως ἡ πᾶσ' ἐπισκοπὴ τὸν ἀεὶ χρόνον συνεχὴς εὖ μάλα συνέχουσα τὰ κατ' αὐτὴν καί, ὡς ἔνι μάλιστ' ἀσφαλέστατα, κρατύνουσα· καὶ τούτου δὴ τοῦ φρουράρχου διάδοχός τις οὔτε γέγονεν ἐξεκείνου οὔτε μήποτε γένοιτο. Φρούραρχος δ' οὖν οὗτος καὶ πολιοῦχος αὐτῆς ἀκάμας καὶ ἀήττητος καὶ πάσης προνοίας τῶν βελτίστων ἐπιμελητὴς προσέχων ἀνεπίστροφος

παντάπασι καὶ διὰ πάντων τῷ λάχει τῷδε, τῇ τῆς πόλεως ἐπιστασίᾳ, καὶ ᾧ διὰ πάντων πραγμάτων ἡ πόλις, ὧν εὖ τε καὶ ὡς ἑτέρως πειρᾶται, προσέχει τε καὶ προσήκει καὶ δίδωσιν ἑαυτὴν ἄγειν ἀπραγμόνως, ὡς ἂν δοκιμάζῃ βέλτιστα. Οὔκουν γέ ἐστιν ἀφεκτέον οὔτε[219] τοῦ φρουράρχου τῇ πόλει οὔτε δὴ τῷ κρατίστῳ φρουράρχῳ τῆς πόλεως. Τίς γε μὴν οὗτος; Αὐτή γε δῆτα ἡ δεσπότις πάντων τῶν ἐν τῷ βίῳ ἅτε δὴ τοῦ δεσπότου καὶ δημιουργοῦ τοῦ παντὸς τοῦδε τοῦ κόσμου καὶ αὐτῆς γε μὴν ἀμέλει τὸ ἀνθρώπινον μήτηρ, ἡ τῆς ἀνθρωπίνης φύσεως ἐπίλεκτος ἀπὸ πασῶν καὶ πάντων προελθοῦσα διὰ τῆς ἄνωθεν προνοίας θείας, ἐφῷ τῆς ἀνθρωπίνης προΐστασθαι φύσεως καὶ τὰ εἰς Θεὸν ἡγεῖσθαι, ἐφῷ χώραν ἔχειν καὶ τάξιν μεσίτου Θεῷ καὶ τῇ φύσει καὶ διαλλάττειν ἀνθρώπους Θεοῦ καὶ τῶν θείων νόμων ἀποπίπτοντας καὶ κακοὺς κακῶς ἀλλοτριοπραγοῦντας, τοὺς μὲν ἄγουσα δούλους αὐτῇ καὶ μερίτας τῆς φύσεως, τῷ δὲ προσάγουσα πιστεύειν ἔχουσ' αὐτὴ καὶ θαῤῥεῖν υἱεῖ καὶ δεσπότῃ τοὺς κατὰ τὸ εἰκὸς αὐτῶν ἔστιν ὅτε καὶ οὓς ἀναξίους οὐκ αὐτοῦ μόνου ἀλλὰ καὶ αὐτῆς καὶ ἀξίους ἐλέου κατ' οὐδέν' ἄλλον τρόπον ἢ διὰ μόνον τὸ φίλοικτον ἑτοιμότατον κατὰ φύσιν αὐτοῦ τε καὶ αὐτῆς, ἐφῷ τὰ κατ' ἀνθρώπους ἅπαντα διαφέρειν καὶ προνοεῖν ἐν παντὶ τῷ προσπεσόντι καιρῷ διὰ τὴν κοινὴν συμπαθοῦσα φύσιν καὶ καμπτομένη τῇ κοινωνίᾳ.

68. Αὕτη τῆς πόλεως ἡ προστάτις, (f.275^{v})ἡ κοινὴ προστάτις τῆς ὅλης φύσεως. Αὕτη πᾶσαν αὐτῇ δυσχέρειαν καὶ πάντα πράγματα σωτηρία καὶ πάντα κίνδυνον ἀλεξίκακος καὶ οὐκ ἔστιν οὗ τῶν δεινῶν δεῆσαν, οὐδ' οὗ τῆς ἁπάσης δυσκολίας καὶ πονηρᾶς ἐπιφορᾶς οὐ τοῦτο· καὶ δείκνυσι τοῦτο τὰ τοσαῦτα τεράστια καὶ θαύματ' ἐξαρχῆς πάντας τοὺς τῆς χρείας καιρούς, πάλαι

[218] τίς V
[219] ὁτὲ V

τε καὶ μέχρι νῦν δείκνυσι καὶ κατὰ πάντας τοὺς χρόνους· καὶ δείκνυσιν ἡ πάντων ἀναμφήριστος ταύτῃ ῥοπὴ καὶ νεῦσις περὶ ὁτουοῦν χαλεποῦ καμνόντων τε καὶ φροντίδ' ἐχόντων, καὶ οὐ ῥοπὴ μόνον τῆδε κατεσπουδασμένη καὶ παρ' αὐτὰ τῆς ἀκμῆς τοῦ παντὸς κινδύνου ἀλλὰ καὶ κάλλιστ' ἐπίτευξις τῶν χρησίμων ὅ,τι τάχιστα καὶ παρ' αὐτὰ τῆς ἀκμῆς τοῦ παντὸς κινδύνου καὶ τῆς ἐπικλήσεως· καὶ δεικνύουσιν αἱ τοσαῦται τῶν παλαιῶν ἱστορίαι θαυμασίων, πάνυ τοι πλεῖσται πάνυ τοι πλείστων, ἄλλαι κατ' ἄλλα πονοῦσαι καὶ οὐχ ὁμοῦ πᾶσαι (οὐδ' οἷόν τέ ἐστι) καὶ πᾶσαι τῶν πραγμάτων ὅμως καὶ τῶν δικαίων ἥττους πολλῷ καὶ κομιδῇ λειπόμεναι· καὶ δεικνύουσιν οὐ συντάξεις μόνον οὐκ εὐαρίθμητοι τοσαῦται θεοσεβούντων, ὡς ἔφην, οὕτω τῶν πολλῶν τὴν τῶν φιλανθρώπων ἔργων καὶ μεγίστων εὐγνωμοσύνην καὶ τῶν μὲν τά, τῶν δὲ τὰ καταριθμούντων, ὡς ἕκαστος γνώμης ἔχει, καὶ ἴσως ἀρκεῖ, ἀλλὰ καὶ νῦν ἑκάστοτε πεῖραι πάντων πᾶσαι περὶ τῶν ἐπειγόντων ἑκάστων σφᾶς κοιναί τε καὶ ἴδιαι, καὶ ὡς ἅμα τέ τι τῶν ἐμπιπτόντων ἐργῶδες καὶ ἅμα πρὸς τὸ παραστὰν αὐτίκα τοῦ καιροῦ ταχὺς ὁ δρόμος καὶ παντὶ πρόχειρος ἐπὶ τὸν τοῦ παντὸς τοῦ κλύδωνος κυβερνήτην καὶ τῆς ἱερᾶς ὄντως ἀγκύρας τὴν ἀντίληψιν· καὶ ἅμα τἀνιῶντα πάντα φροῦδα καὶ πάσης ὀχλήσεως ἄδεια καθάπαξ καὶ ῥᾳστώνη καὶ ἀσυλία καὶ πάντων δὴ τῶν κατανισταμένων καὶ κατεπιχειρούντων καὶ ἀνδρῶν καὶ πραγμάτων ἐν τῷ παραχρῆμα πανώλεια. (f.276[r])Καὶ τὸ μὲν τὰ τοιαῦτα πάντ', εἰ οἷόν τ' ἦν, σπουδῇ πάσῃ προφέρειν καὶ προστιθέναι ἔστι μὲν ὡς ἂν εἶναι τοῦ παντὸς ἔργον ὄντως[220] ἀναγκαιότατον καὶ δικαιότατον καὶ πρὸς τῆς πόλεως καὶ μάλα τίμιον αὐτῇ καὶ μάλιστ' αὐτῇ προσῆκον καὶ μάλιστα τῷ παρόντι λόγῳ καὶ μᾶλλον ἢ οὐκ οἶδ' ὡς εἴ τι ἄλλο καί, οἶμαί γε, πάντων τοῦθ' ἓν ἀλλάξαιτ' ἄν. Ἀλλ' ἴσως ἔστιν ὡς ἂν καὶ

[220] ὄντως V[sl]

μαινομένου τινὸς ἔργον δόξαι περὶ τοσούτου πράγματος ἐπιχειρεῖν καὶ παντάπασιν ἀνεφίκτων ἅπτεσθαι καὶ τἀκίχητα κατὰ τὸν λόγον διώκειν καὶ μεταλλᾶν ἄμμους καὶ ἀστέρας ἀριθμεῖσθαι καὶ πρόπαντ'[221] ἀνόνητ' ἐπιβάλλειν πράγματα καὶ ὧν οὐκ ἔστιν ἐπίπαν τυχεῖν ἀλλ' ἢ μόνον σαφῆ γέλωτ' ὀφλισκάνειν ἔπειτα καὶ μόνον ἀρχόμενον ἐνταῦθα καὶ προτιθέμενον· καὶ δοκῶ μοι περὶ τούτων πεπαῦσθαι καὶ καταλιπεῖν αὐτόθεν εἰς τὰς περὶ τούτων φιλοθέους συγγραφὰς παραπέμπων τι βουλόμενον ἐκμανθάνειν καὶ πολυπραγμονεῖν, εἰ καὶ τούτου καθάπαξ τυχεῖν ἀδύνατον διὰ τὸ τοῦ πράγματος ἀδύνατον. Ἐδόκουν δ' ἂν πάντων ἀνθρώπων ἀβελτερώτατός τις εἶναι καὶ ἠλιθιώτατος καὶ ἀμαθέστατος τῶν κατ' ἐμὲ προσηκόντων ἐν μέρει τινὶ τῆς παρούσης προθέσεως περὶ τῶν τοσούτων τε καὶ τηλικούτων ἐπιτρέχειν πειρώμενος, ὧν οὐκ ἔστιν ὅλως ἱκανῶς ἅπτεσθαι, κἂν ὅ,τι δύναιτό τις μέγιστα, περὶ τούτων ἰδίαν μόνην σπουδὴν προθεὶς καὶ μεταχειρίζων.

69. Ἀλλ' ὅθεν ὁ λόγος ὥρμητο, ὡς πάσας ἡ τοῦ Θεοῦ μήτηρ τῇ πόλει τὰς προσηγορίας ἐφ' ἑαυτῆς χαρίζεται καὶ πάντων ἔστι τῶν καλλίστων ἐπώνυμος αὐτῇ, βασιλὶς αὐτὴ καὶ στρατηγὸς καὶ κυβερνήτης καὶ πρὸς πᾶν, καθόλου γ' ἐρεῖν, ἐπιστάτις ὅ,τι βέλτιστον καὶ χορηγὸς καὶ ὡς ἂν κατ' ἄλλο μέρος αὖθις ἅπαν τ' ἀντίπαλον καὶ χαλεπὸν χρήσασθαι καὶ δυσνοϊκὸν αὐτὴ[222] διοικήσασθαι πρὸς τὸ συνοῖσον εὖ τε θέσθαι καὶ ὅλως, καθ' ὅσον ἂν εἴη φύσις, ἀνύσιμον εἶναι. Ἔγωγέ τοι δοκῶ μοι, καθάπερ ἀκρόπολίν τινα τῶν ὅλων, ἡ βασιλὶς προκαταλαβοῦσα τὴν πόλιν ταύτην καὶ (f.276^{v})παντάπασιν ἰδιοποιησαμένη τε καὶ κρατύνασα καὶ τάξιν ὡσανεὶ βασιλείων αὐτῆς ἀποδεδειγμένη ταύτην καλλίστων τε καὶ τιμίων καὶ περιβλέπτων κατὰ παντὸς

---

[221] πρὸς πάντ' V
[222] αὐτὴ fortasse transponendum post χορηγὸς

ἄρα τοῦ κόσμου ἐντεῦθεν ἔπειτα λοιπὸν τὴν ἅπασαν οἰκουμένην ἄγειν καὶ προνοεῖν καὶ διοικεῖσθαι καὶ πᾶσιν ἀνθρώποις ἐντεῦθεν ἀναπηγάζειν εὐπραγίαν καὶ βίοτον ἡρμοσμένον ἅπαν τὸ σφίσιν ἑκάστοις ἱκνούμενον· οὕτω πάντα διὰ πάντων ἡ πόλις αὐτῆς ἐστι καὶ ὅλως αὐτῆς ἔχεται καὶ καθάπαξ αὐτῇ συνέφυ· καὶ οὐκ ἀποχωρεῖ πρὸς βραχὺ ταύτης καὶ ὁπηοῦν πᾶσι καιροῖς, πᾶσι πράγμασι· καὶ ἴδιον αὐτῆς ἐστι κτῆμα καὶ θρόνος αὐτῇ βασίλειος, ἥπερ ἔφην, καὶ ὄχημα τίμιον πρὸ πάντων ὁμοῦ τῶν ἄλλων τιμώμενον καὶ οἶκος αὐτῇ καταπαύσεως καὶ πρυτανεῖον εὐδαιμονίας καὶ τῶν μεγάλων εἰς τὸν βίον αὐτῆς θησαυρῶν, ὅθεν ἅπασιν ἀνθρώποις εὐζωίαν χορηγεῖ καὶ καθάπερ τινὸς θεωρικοῦ διάδοσιν ἑκάστῳ τὰ καθήκοντα νέμει, καὶ θέατρον ἐπιδείξεως αὐτῇ τὸν ἅπαντα χρόνον ἀποχρώντως ἔχον καὶ <ἀπὸ>[223] μόνης αὐτῆς εὖ ἠσκημένον καὶ μέγιστον καὶ κάλλιστον καὶ ἠσφαλισμένον αὐτῇ παντὶ τρόπῳ καὶ πᾶσιν ἀστράπτον κάλλεσι· καὶ ὅλως ταύτης ἐστὶν ἱερὰ καὶ ἀνεῖται ταύτῃ καὶ προσήκει ταύτῃ τῆς γῆς ἀπὸ πάσης καὶ διὰ πάσης ἑαυτῆς αὐτῇ κατατεμμαχίζεται καὶ κατατεμενίζεται καὶ ἱεροποιεῖται· καὶ τῆς πόλεως οὐκ ἔστιν ὁ,τιοῦν μέρος, ὃ μὴ τῇ τοῦ Θεοῦ μητρὶ παρθενικοὺς ἔχει θαλάμους καὶ νεὼς πανσέμνους κοσμίους τε καὶ ἀσύλους καὶ πάσης αἰδοῦς ἀξίους· καὶ τὰ μὲν μέγιστα κάλλη τῇ πόλει πλεῖν ἢ κατὰ τἄλλ' ἅπαντα κατ' αὐτήν, προσθείην δέ, καὶ τὰ πλεῖστα καὶ ἄττα δή, καθάπερ τινὸς εὐδαιμονίας αὐτῇ στῆλαι, διὰ πάσης αὐτῆς ἀνέχουσιν οἱ νεὼ καὶ οἱ τῆς θεοσεβείας οἶκοι καὶ τὰ καθηγνισμένα σεμνεῖα, ὧν οὐκ ἄρα δὴ μόνον οὐδ' ἐφ' ἡστινοσοῦν ἄλλης τῶν πόλεων πάλαι τε καὶ νῦν οὐκ ἔστιν ὅλως εὑρεῖν παραπλήσια (καὶ τὸ παραβάλλειν ὅλως μανία σαφὴς καὶ μέγιστος ἀμαθίας ἔλεγχος) ἀλλ' οὐδ' ἐφ' ὅλης αὐτῆς (f.277[r])τῆς οἰκουμένης, ἐφ' ἧς τὰ τοιαῦτα τιμᾶται, ἔστιν ὅλως εὑρεῖν τοιαῦτα καὶ

[223] ἀπὸ addidi

παραπλήσι' ἄττα καί, ἔτι γε μὴν τὸ μεῖζον, οὐδ' ἔστι τοσαῦτα δή· καὶ ὅστις πολυπραγμονεῖν βούλεται, οὐ πολὺς ὁ πόνος ἀλλὰ ῥᾷστα γνώσεται καὶ ὀφθαλμοῖς ξυγχωροῦμεν χρῆσθαι. Τούτων γε μὴν αὐτῶν τὰ πλεῖσθ' ἡ πόλις ἀνατίθησι φέρουσα τῇ μητρὶ τοῦ Θεοῦ καὶ προδείκνυσιν ἅπασιν ἀνθρώποις εἰς τόνδε τὸν βίον τὴν καλλίστην ἐπίδειξιν καὶ λειτουργίαν ἐξαίρετον ἀπὸ πασῶν αὐτῇ σεμνὰ σεμνῶς τε καὶ καθάπαξ εὐαγέστατα. Ὥστ' οὐ μόνον ἄρα λοιπὸν ἱερά τίς ἐστιν ὅλη, καθὰ μικρῷ πρότερον εἴρηται, καὶ προσήκουσα τοῖς θείοις ἐπίπαν ἀλλὰ καὶ ἱεροπομπός, ἔοικεν, ἐπὶ πάσης τῆς οἰκουμένης καὶ προΐσχεται τὰ πάντων κάλλιστα καὶ θειότατα καὶ πομπεύει πρὸς ἅπαντας ἀνθρώπους ἐντεῦθεν ἐξ ὑπερτέρων καὶ τελεῖται τὰ θεῖα δι' ὅλης αὐτῆς τὸν ἀεὶ χρόνον· καὶ πάσης τελετῆς ἔστι πλέως καὶ πάσης τελετῆς κάτοχος καὶ τελεταρχεῖ τὰ θεῖα κάλλιστ' ἐπὶ πάσης γῆς καὶ πάντων ἀνθρώπων καὶ τῶν τῆς εὐσεβείας ἡμῖν μυστηρίων καὶ ἱερῶν καὶ[224] ἀποῤῥήτων ἑστία δείκνυται· καί, ὥσπερ τῶν νεὼν ἕκαστοι[225] τἀγάλματα καὶ πᾶσαν τὴν ἱερὰν σύνταξιν οἶκοι φέρουσι καὶ θησαυροφυλακοῦσιν ἔξω τῆς τῶν πολλῶν ἐντυχίας αὐτοῖς ἀποκλείοντες, οὕτω δὴ καὶ ἡ πόλις ἀπὸ πάσης αὕτη τῆς γῆς τοῖς ναοῖς μεμέστωται καὶ παμπλήρης τῶν γε τοιούτων ἐστὶν οἶκοι διὰ πάσης ἑαυτῆς, ἱερὸς καθόλου περίβολος τῶν κειμηλίων τῶνδε καὶ τῶν θησαυρῶν τῶνδε καὶ τῆς πίστεως.

70. Ἠβουλόμην ἱκανῶς περὶ τούτων ἔγωγ' ἔχειν καὶ διεξιέναι περὶ τούτων ὡς ἂν ἐντελέστατα καὶ οἷόν τ' εἶναι, ὡς ἂν ἠβουλόμην, καὶ τὸν καιρὸν ἀμέλει τόδε συγχωρεῖν. Ἐπεὶ δὲ τοῦτο παντὸς μᾶλλον ἀδύνατον καὶ παντὶ καὶ ὁ λόγος οὑτοσὶ προῆλθεν ἀφειδὴς παντάπασι καὶ ἀφύλακτος καὶ πολλὴ πάντως ἡ ἄνοια τἀδύνατα τῇ φύσει ποθεῖν, καὶ οὐ λέγω βούλεσθαι μόνον ἀλλὰ

---

[224] καὶ V^{sl}
[225] ἕκαστος V

καὶ ὅλως εὔχεσθαι, καὶ ἅμα κομιδῇ τοῦ καιροῦ γίγνοιτ' ἂν (f.277^{v})ἔξω κατὰ μέρος ἐπεξιέναι καὶ μεμνῆσθαι πάντων γε τῶν ἄρα τοιούτων, εἴπερ οἷόν τ' ἦν, τίς ἂν γενοίμην τοιγαροῦν ἐνταῦθα ἢ τί χρήσομαι; Ἢ πῶς ἂν καὶ παρέλθοιμι, καὶ εἰ πάντα τἆλλα παρέλθοιμι παντελεῖ σιγῇ τε καὶ ἀμνηστίᾳ, τὸ τοσοῦτο χρῆμα καὶ μέγιστον, ὡς ἀληθῶς, τοῦ βίου θαῦμα καὶ οὐκ ἐπὶ τῆσδε μόνον τῆς πόλεως ἀλλὰ καὶ πάσης ἄλλης πόλεως καὶ τῆς ὅλης οἰκουμένης καὶ ὅλως ἀλόγιστον τέως καὶ ἀνυπονόητον, πρὶν ἢ καὶ γενέσθαι, τὸν ἀνέχοντα διὰ τῆς πόλεως τῆς τοῦ Θεοῦ Σοφίας τουτονὶ νεών, ὃ καὶ μόνης τῆς τοῦ Θεοῦ σοφίας καὶ προνοίας καὶ παντουργοῦ χειρὸς ἔργον καὶ οὐκ ἄλλης ὄντως σοφίας ἢ τέχνης ἢ φύσεως ἡστινοσοῦν οὔτ' ἐννοῆσαι τοσοῦτο πρᾶγμα οὔτε μὴν ὅλως διαπράξασθαι· τὸ μὲν γὰρ ἐσχάτῃ δὴ σιγῇ περὶ τούτου χρήσασθαι ἔστι μὲν ὡς ἀδικώτατον ἐπιδηλότατα καὶ παντὶ ξυνιδεῖν καὶ ἀμαθέστατον τῶν τιμιωτέρων καὶ βελτίστων τῇ πόλει, ἔστι δ' ὡς ἄμεινον διὰ τὸ παντάπασιν ἀνέφικτον καὶ ὁ,τιοῦν τῶν προσηκόντων ἐρεῖν· καὶ ἅμα, εἴ τις καταλογίζοιτ' ἂν τὸ μῆκος τῶν λόγων, ὧν εἴρηταί τε καὶ ὧν εἰρήσεται, πᾶσα ἀνάγκη, καὶ οὐκ ἔχω τίς ἄν, ὡς ἔφην, γενοίμην ἐνταῦθα γενόμενος· βέλτιον δ' ἂν ἴσως εἴη τὴν μέσην ἑλέσθαι. Τὴν μὲν οὖν ὅλην τοῦ τοσούτου πράγματος εὕρεσιν καὶ κατασκευὴν καὶ τὴν τῆς τέχνης σοφίαν καὶ τοὺς πορισμοὺς καὶ τὴν περίνοιαν καὶ τὰς μηχανὰς καὶ τὴν ἐφ' ἑκάστοις ἀκρίβειαν ἀμήχανον οἵαν, ὡς ἔπος εἰπεῖν, καὶ τὸ κάλλος καὶ τὴν τῆς ὕλης τοσαύτης εὐπορίαν τε καὶ περιουσίαν ἀσυλλόγιστον ἐλπίσαι τέως, τίς ἂν οἷός τ' εἴη ταῦτα διεξιέναι καὶ τῶν πάντα δὴ καὶ πάντων τὰ μέγιστα σοφῶν τε καὶ ῥᾳδίως περαινόντων; Ἀλλ' ἴσως γε μὴν ἀκαιρία τις ἂν εἴη περὶ τούτων ἐπιχειρεῖν καταμέρος καὶ τρίβειν, ἃ μόνης ἱστορίας καὶ περὶ τούτων ἰδίας μόνης οὐ τῆς παρούσης σπουδῆς ὑπόθεσις οἰκεία τις ἂν ἦν. Μάλιστα δ' ἂν

καὶ μελαγχολᾶν προδήλως ἂν[226] εἴη καὶ ὅλως ἐνταῦθα πειρᾶσθαι (f.278[r])καὶ κατεπιχειρεῖν ἔργου φύσιν ὅλως οὐκ ἔχοντος τυχεῖν καὶ κατὰ σκοπὸν ὁπηοῦν εὖ θέσθαι.

71. Καίτοι τί λέγω; Ἦν μέν γε μανία τις[227], ὡς ἀληθῶς, πρὶν αὐτὸ γενέσθαι, γενέσθαι δόξαι. Ἦν μέν γε καὶ ὅλως εἰς νοῦν θέσθαι καί, ὡς εἰπεῖν, ἔξω λογισμῶν τοσοῦτο λογίσασθαι κἄπειτα συσκευάζεσθαι λοιπὸν εἰς αὐτὸ καὶ τῆς ἐργασίας ἅπτεσθαι. Εἰ μὴ καὶ ἀμφότερα κατὰ θεῖον, ὡς ἔφην, καὶ Θεοῦ πρόνοια καὶ Θεοῦ χεὶρ τὸ πᾶν ἐκίνησέ τε καὶ τὸ πέρας ἐξίκετο τέρας, οὐκ οἶδ' ὡς εἴ τι ἄλλο τῶν ἐκ τοῦ παντὸς αἰῶνος καὶ φύσεως ἔξω καὶ τέχνης, καὶ ὃ μὴ δὲ θαυμάζειν ἐστὶν ἀξίως μὴ δ' ὁρᾶν γε ἐστὶν ἀξίως, μετ' ἀληθείας ἐρεῖν, οὕτω μέγιστον, οὕτως ὕψιστον, οὕτως εὐρύτατον, οὕτω δὴ ποικιλωτάτης καὶ πολυειδοῦς καὶ πολυστρόφου τῆς διοικήσεως, φαίης ἄν· καὶ δῆτ' ἔγωγε πολλάκις ἔδοξ' οὑτωσί πως οὐκ ἐπιτηδεύσεως, οὐδ' ἀσκήσεως ἡστινοσοῦν, οὔθ' ὅλως τεχνικῶν λογισμῶν τοὔργον ἀλλ' ἄρα κατὰ φύσιν ἀνεπιτήδευτον καὶ ἀτεχνούργητον οὑτωσὶ προελθεῖν ὡς εἴ τι καὶ ἄλλο τῶν αὐτῆς θαυμάτων, οἷα δῆτ' αὐτὴ νεανιεύεται καὶ παλαμᾶται καὶ ῥᾳστωνεῖται[228] καὶ τελεσιουργεῖ μεγάλα μεγαλωστί, καί, ὡσπερεί τινα ὄρους ἀποσπάδα τοσαύτην ἀνέχειν ταύτην ἀμέλει κατὰ μέσην τὴν πόλιν, συνεχῆ κατὰ φύσιν τῷ παντί. Ἦ πόθεν ἄρ' ἦν, ἵνα μὴ λέγω τῆς τέχνης, τοσαύτης ὅμως τυχεῖν τῆς ὕλης καὶ παντοίας καλλονῆς, ἧς μόνης ἀναπλάττει νοῦς; Ἦ πόθεν ἢ πῶς ἐνεγκεῖν ὁμοῦ τὴν τοσαύτην παρασκευὴν τοῦ πράγματος καὶ τῆς τέχνης, ἧς οὐδὲ τὴν ὅλην γῆν ᾠήθη τις ἂν ἴσως ἱκανὸν εἶναι ποριστήν; Ποῖαι λατομίαι τῆς τοσαύτης λίθου μαρμάρου χορηγοὶ καὶ τῶν τοσούτων καὶ οὕτω παντοίων ἀνθῶν τε καὶ βαφῶν

---

[226] ἂν fortasse secludendum
[227] n.l. πρὶν post τις V[sl]

αὐτῆς λειμῶνες; Ποῦ γῆς νῦν ὁρώμεναι κενωθεῖσαι τῆς οὐσίας, ποῦ γῆς ὅλως ὁρώμεναι; Ποῖαι σοφίαι, χεῖρες ὅσαι, ποία γῆς εὐφορία καὶ χρήμαθ' ὅσα, ὅσοι πλοῦτοι τὴν κομιδὴν ἔπραξαν; Ποῖος ἁπάσης περινοίας σοφιστὴς χρόνος ἢ πρότερον ἢ μετέπειθ' ὕστερον ἀνέδειξε τέχνης παραπλήσιον ἔργον καὶ κράτος ἢ ὅ,τι ἔγγιστα, ποῖον τῶν πάλαι θεαμάτων καὶ θαυμάτων (f.278^{v})ὠνομασμένων[229] δίδωσιν ἐνταῦθα παραβάλλειν ἐξεῖναι καὶ ὁπῃοῦν μὴ οὐ σὺν γέλωτι καὶ τῆς ἐσχάτης ἀνοίας καὶ ἀβελτερίας ἐλέγχῳ; Ποῖα βαβυλώνια τείχη[230], ποίας πυραμίδας αἰγυπτίας, ποίους Μαυσώλου καρικοὺς τάφους, νεκρά τιν', ὡς ἀληθῶς, ἔργα καὶ πολλὴν[231] ἀηδίαν καὶ πολλὴν ἀκαιρίαν καὶ λῆρον πολύν; Ποίους μετεώρους λειμῶνας, ἀερίους, ἀνυποστάτους, ὡς ἀληθῶς, καὶ εὐρίπιστον καὶ ματαίαν καὶ ἀνόνητον[232] σπουδὴν εὐκίνητόν τε δὴ ῥᾷστα καὶ εὔσειστον καὶ συμπεσοῦσαν οὐχὶ τῶν χρόνων ὀψέ; Καὶ τὰ πλείω παραλείπειν εἰκός, ὡς ἂν μὴ ταὐτὰ δὴ μάταια[233] πονεῖν ἑλέσθαι δοκῶμεν καὶ μάλιστ' ἐφ' ὕβρει τοῦ τοσούτου πράγματος καὶ ἡμῶν γ' αὐτῶν, μοναδικὸν τοσοῦτο μέγιστον ἔργον καὶ κάλλιστον οἷον ἐπὶ πάσης τῆς οἰκουμένης καταριθμοῦντες ὅλως καὶ οἰστισινοῦν.

72. Τοσοῦτο δ' ἐρεῖν ἔχομεν ἐνταῦθα νῦν εἶναι καθόλου καὶ συλλογίσασθαι, ὡς ἄρα ἐφ' ὅλην μὲν αὐτὴν τὴν γῆν καὶ πάντας ἀνθρώπους τὸ πάντων μόνον ἐξαίρετόν τε καὶ κράτιστον καὶ μεγέθει καὶ ὥρᾳ καὶ χρείᾳ τοῦ βελτίστου πρὸς τὸν βίον καὶ τἀνθρώπινα πράγματα προέχον παντί που δῆλον ἡ πόλις κἀπὶ ταύτης τοσαῦτα κάλλη καὶ θαύματα παντοίων ἔργων ὁμοῦ, ὁποῖα καὶ οἷα μὴ δ' ἐπὶ πάσης τῆς οἰκουμένης ὁμοῦ. Τούτων δ' ἁπάντων αὖθις ὁμοῦ

---

[228] ῥαστωνεύεται V
[229] ὠνοσμασμένων V
[230] τείχη V^{pc} : τύχη V^{ac}
[231] πολλὴν V^{pc} : πολὺν V^{ac}
[232] ἀνώνητον V

κορυφὴ καὶ τὸ διὰ πάντων μόνον ἐπίλεκτον τὰ πρῶτα φέρεσθαι καὶ τἆλλ', ὡς ἀληθῶς, ἐῶν κάτω τῆς αὐτοῦ λαμπρότητος καὶ κράτους καὶ μεγέθους καὶ κάλλους καὶ πάντων, ὅσ' ἄξια θαυμάζειν, αὐτὸς ὁ νεὼς οὑτοσί, οὐράνιον ἐπὶ γῆς κάλλος μυρίαν χάριν ἀστράπτον, οὐράνιον ἐπὶ γῆς εἴκασμα καὶ Θεοῦ σκηνὴ καὶ φωτὸς οἶκος καὶ δόξης ὄχημα Θεοῦ καὶ μεγίστου τοῦδε καὶ καλλίστου σώματος τῆς πόλεως, ἐμοὶ δοκεῖν, ὥσπερ τις καρδία, τὸ καιριώτατον αὐτοῦ μέρος καὶ πρῶτον καὶ ζωῆς ἀφορμὴ καὶ πρώτη πηγὴ τῷ τε παντὶ καὶ τοῖς ἄλλοις ἅπασι μέρεσιν εὖ πεφυκυῖα καὶ προσήκουσα λαμπρῶς, (f.279[r])μᾶλλον δέ, ψυχὴ ζωῆς συμπεφυκυῖα τῇ πόλει καὶ πνεύματος χορηγὸς καὶ οὐσίας καὶ ζωῆς τελειωτής[234]. Ἀλλὰ μὴν αὐτὰ δὴ ταῦθ' ἡ πόλις τῇ πάσῃ γῇ· καὶ ἅπερ ἡ πόλις τῇ πάσῃ γῇ, ταῦθ' ὁ ναὸς τῇ πόλει, ψυχὴ ψυχῆς εἴτ' οὖν νοῦς, τὸ θειότερον καὶ πρῶτον αὐτῆς καὶ κάλλιστον καὶ τιμιώτερον· καὶ παραβάλλειν τἆλλ' οὐκ ἔστι καὶ ξυμμετρεῖσθαι λοιπὸν ἔγγιστα· καὶ τοῦ ὀφθαλμοῦ τῆς οἰκουμένης ὀφθαλμὸς ὅδε, κόρης, ὡς εἰπεῖν, ἐν τύπῳ καί, καθόλου γε εἰπεῖν, ἅπανθ', ὧν ἡ ἐρημία τοῦ παντός ἐστιν ἡ μεγίστη ζημία καὶ τῆς ὅλης καλλονῆς καὶ φύσεως λύσις, ᾗ καλῶς ἔχεται καὶ πέφυκε μένειν· καὶ οὐκ ἔστιν, ὃ μὴ τῶν καλλίστων, ὃ μὴ τῶν τιμιωτάτων, ὃ μὴ τῶν ἰσχυόντων μάλιστα καὶ χρησιμωτάτων ἐπὶ πάνυ τοι πλείστοις ἄλλοις τοῖς οἰκειοτάτοις καὶ συγγενέσιν.

73. Ἄττα δῆτα καὶ αὐτὰ μάλιστα πρὸς αὐτὸν λόγον ἔχει καὶ τῷ παντὶ καὶ ἀλλήλοις[235] ἐστὶ καὶ αὐτῷ καθάπαξ γνήσια καί, ὥσπερ ἐν λύρᾳ, πάντοθεν ἠχεῖ σύμφωνον καὶ κομιδῇ τέρπει τοὺς ὁρῶντας καὶ χρωμένους· οὔκουν γέ ἐστιν οὐδὲν ὁ,τιοῦν, ὃ μὴ σφόδρα τῇδε καιρὸν ἔχει ἢ κάλλος ἢ μέγεθος ἢ πᾶσαν ἀκρίβειαν ἢ χρείαν ἢ ὁμοῦ πάντα ἢ τούτων γε ἄττα· καὶ πάντων ἐστὶν ἥδεσθαι

[233] μάταια V[pc] : μάταιαν V[ac]
[234] τελειότης V

πάνυ τοι καὶ πάντων θαυμάζειν ὡσαύτως· καὶ οὐδὲν ἂν παρίδοι τις οὐδὲ παραδράμοι νοῦν ἐπιστάτην ἔχων οὑτωσί πως ῥᾷστα καὶ ὡς εἴ τι τῶν εἰωθότων, ἀλλ' ἢ μεθ' ἡδονῆς τινος ἐφιστάνων[236], οἵας ἀμυθήτου, ἀλλ' ἢ μετὰ θαύματος ὅσου δή· καὶ μὴν ἔστιν ἅπαντ' ἐπιόντα καὶ τὸν νοῦν εὖ μάλα προσέχονθ' ἑκάστοτε, νεώς, στοάς, γυμνάσια, δρόμους ὑπαίθρους καὶ καταστέγους, στήλας ἐκ μαρμάρου καὶ λίθου πάσης, ἀνδριάντας, γραφάς, ἀγάλματα, ἑρμογλυφικὰς λατομίας ὧντινωνοῦν ἑστώτων ἀσκητῶν σωμάτων ἢ μονοφυῶν ἢ συνθέτων, πάνθ' ἁπλῶς καὶ ὅσα δημόσια δημιουργήματα καὶ ὅσα καθ' ἕκαστα, πάντα δ' οὗν ἔξεστιν ἐπιόνθ', ὡς ἔφην, ὁ,τιοῦν συλλογίζεσθαι (f.279^{v})καὶ κέρδος ἔχειν εἰς γνώμην καὶ σύνεσίν τινα καὶ μνήμην τῶν παλαιῶν καὶ φέρειν νοῦν ἐντεῦθεν· καὶ πάντα σοι πορίζει συντέλειαν λογισμῶν καὶ σοφίαν, τὰ μὲν καὶ[237] δι' ἐπιγραμμάτων χειραγωγίας ἐπιδήλου καὶ προόδου σαφοῦς, τὰ δὲ καὶ νύττοντα τὴν διάνοιαν αὐτόθεν αὐτίκα τῶν μὴ μόνον αἰσθήσει καὶ τοῖς φαινομένοις ζώντων καὶ γυμνάζοντα καὶ κινοῦντα χρῆσθαι καὶ πλέον ἔτι καὶ περαίνειν ὁ,τιοῦν ἐκ τῶν ὁρωμένων ἔπειθ' ὕστερον· καὶ πολλή σοι πάντοθεν αὐτῶν ἡ διδασκαλία τὸν νοῦν, ὡς ἔφην, εὖ μάλα προσέχοντι· καὶ θησαυροὶ γνώσεως οὗτοι, τοῖς μὲν ἐκκείμενοι μετὰ ῥᾳστώνης ὀνίνασθαι, τοῖς δὲ καὶ ἐν ἀπορρήτοις συντηροῦντες κειμήλια σοφίας, ὅσοι διαβαίνειν ἄρα καὶ χωρεῖν ἰσχύουσιν εἴσω καὶ περαιτέρω χρῆσθαι λοιπὸν ἢ καὶ ὁρῶσι καὶ πονεῖν ἐπὶ κέρδει. Πλάτων μὲν οὖν τὰς πρώτας τῶν ἐπιστημῶν καὶ τῆς ὅλης σοφίας ζητῶν ἀρχὰς τὸν πρῶτον καὶ μέγιστον ἡμῖν διδάσκαλον καὶ χορηγόν τε καὶ ἀρχηγὸν τούτων, τὸν οὐρανόν, εὑρίσκει καὶ δείκνυσιν· εἴ τις δύναιτο καταλογίζεσθαι τὰς κατ' αὐτὸν ἁρμονίας καὶ ἀριθμοὺς καὶ τὴν ὅλην αὐτοῦ τῆς

[235] ἀλλήλοις V^{pc} : ἄλλοις V^{ac}
[236] ἐφιστάνων V^{mg}
[237] καὶ V^{sl}

διοικήσεως, ἄπαυστον μέν, εὔτακτον δὲ καὶ καθάπαξ ἄλυτον χορείαν καὶ μουσικήν, ἀτὰρ καλῶς ἀμέλει τοῦτ' ἐκεῖνος, οἷα δὴ καὶ ἄλλα τῆς αὐτοῦ μεγαλονοίας καὶ περινοίας, καί, ὡς ἔπος εἰπεῖν, ἀξίως ἑαυτοῦ.

74. Ἀλλ' ὅπερ ἄρα περὶ οὐρανοῦ καινότερον εὕρηται τουτὶ τἀνδρὶ καὶ εἴρηται, τοῦτο δὴ κἀπὶ τῆς πόλεως ὁρῶμεν, ὡς ἀληθῶς, παραπλησίως τοῖς κατ' αὐτὴν ἔργοις καὶ μέρεσι καὶ λόγοις καὶ μέτροις, καὶ οἷς ὅλως ὑποδείκνυσι τῇ τῶν πολλῶν ἐπιμελεῖ καὶ ἐργατικῇ καὶ ἀνυσίμῳ καὶ διὰ νοῦ καὶ δι' ὀφθαλμῶν ἐποπτείᾳ χορηγοῦσαν σοφίας[238] ἀφορμὰς καὶ παρασκευὴν λογισμῶν εὖ μάλα χρῆσθαι καὶ νοῦ περιουσίαν καὶ θέατρον ὑφαπλοῦσάν τε καὶ ὑπανοίγουσαν πάσης ἐπιστήμης καὶ χώραν μνήμης· καὶ γεωργεῖν ἐστιν ἐντεῦθεν εὐφορώτατα πάντα καιρὸν καὶ πάντα τρόπον, ὅστις ἂν βούλοιτό τε καὶ δύναιτο, νοῦ καὶ γνώμης καρποὺς καὶ τροφὰς (f.280[r])καὶ κομίζειν ἐντὸς οἴκοι καὶ πράττειν εὖ ἐν ἀφθόνοις. Καὶ τοῦτο μέν γε νῦν ἐπελθὸν οὕτω, δοκεῖν ἔμοιγ', οὐ παντὸς ἔξω καιροῦ καὶ λόγου εἴρηται, καθόλου γε μὴν ἐρεῖν. Ποῦ γῆς ἄλλη νῦν ἢ τῇδε μόνον αἱ τῆς σοφίας ἁπάσης ἀναχεόμεναι πολύῤῥυτοι πηγαὶ καὶ πρὸς πάντας ἀνθρώπους ἐνταῦθα πάντοθεν ἕλκουσαι; Ποῦ παραπλησίως πρὸς μετουσίαν ἄφθονοι; Ποῦ καθαραί τε καὶ πότιμοι; Ποῦ παντοίας ἡδονῆς, ποῦ παντοίας ἀρετῆς παμπλήρεις ῥέουσαι; Ποῦ τοσαῦτα φιλοσοφίας σεμνεῖα καὶ τελεταὶ καὶ μυστήρια καὶ θεωρίας τῶν ὄντων καὶ δογμάτων παντοίων μετουσία τε καὶ βακχεῖα καὶ θειασμός; Ποῦ ῥητορείας χάριτες καὶ λειμῶνες τοσοῦτοι καὶ λαμπρότητες καὶ ἀγορὰ πλήθουσα καὶ πανήγυρις καὶ ὥρα λόγων τοσαύτη καὶ οὕτως εὔωνος; Ποῦ θέατρα καὶ κρότοι πρὸς ἐπίδειξιν καὶ γυμνάσια[239] καὶ ἅμιλλαι κράτους καὶ πίστεως καὶ ἀσκήσεις καὶ δίαυλοι καὶ δρόμοι διαρκεῖς

---

[238] post σοφίας l.n. ..τὴν V[sl]
[239] γνυμνάσια V

εὐστομίας καὶ γλώττης θηγάνη[240] σφόδρα τομὴ[241] καὶ παρασκευὴ φωνῆς τοσαύτη καὶ πνεῦμα λεῖον καὶ δαψιλὲς χορηγοῦν εἰς εὐφωνίαν παντοίαν; Ποῦ πάντες Μουσῶν χοροί; Πάντ' ἐκεῖνα τὰ πρότερον ἔσβεσται κἀκείνη λαμπρότης ἐπὶ τούτοις οἴχεται· καὶ τὸ μέγα πάλαι τῶν Ἀθηνῶν ὄνομα καὶ τῆς ἄλλης Ἑλλάδος ἀπήνθησε τῷ χρόνῳ καὶ γηράσαν ἤδη καὶ διερρυηκὸς παρῆλθε· καὶ τὰ κατὰ Παλαιστίνην ἄνθη τῆς γλώττης καὶ κάλλη καὶ ἡ πᾶσα τῆς ἑρμηνείας ἐπιμέλεια καὶ τῆς εὐφωνίας ἐτράπη καὶ ἡ κατ' Αἴγυπτον Ἀλεξάνδρου μεγαλόπολις βαρβάροις δέδοται· καὶ οὐδ' εἴ ποτε περὶ ταῦτ' εἶχον, ὅλως ἐστὶ λογίζεσθαι πρὸς τῶν ὁρωμένων, εἰ μή τινες ἄρα παλαιάν τινα μνήμην καὶ συγγραφὰς καὶ συντάξεις καὶ βίβλους λοιπὸν ἕλοιντ' ἂν τούτοις ἐπιμαρτύρεσθαι.

75. Μόνη δ' ἡ πόλις, ἔοικεν, ἀπὸ πασῶν αὕτη μουσεῖον τῶν λόγων ἁπάντων λείπεται καὶ παιδείας ἑστία καὶ ταμεῖον σοφίας ἁπάσης, εἰ καὶ μόνον, ἀλλὰ καὶ πᾶσιν ἐπαρκοῦν καὶ πρυτανεῦον, ὅσοι βούλοιντ' ἂν τὸ γιγνόμενον· (f.280^{v})καὶ χώρ' αὕτη σφόδρα τις εὔγαιος[242] τῆς ἁπάσης παιδείας καὶ κάλλιστ' ἀροσίμη πάντα φέρειν καὶ πᾶσι φέρειν καὶ ὡς μάλιστα διαρκής. Οὔκουν γ' ἐπιλείψειεν ἂν ὁτῳοῦν τῶν ἐν χρείᾳ καὶ οὐδεὶς ἄρα οὐ μήποτ' ἀτευκτήσαι κάμινων τῆδε καρποῦσθαι καὶ πορισθεὶς[243] εὖ γε ἀπαλλάττειν φορᾶς τῆσδε καὶ πόλεως τῆσδε παντοίους ἀμητοὺς τῶν λόγων ὠνούμενος. Ἀλλ' ἀεὶ πάσης εὐφορώτατα τῆς σοφίας εὐτοκεῖ, ἀλλ' ἀεὶ πᾶσιν αὐτόχθοσί τε καὶ τοῖς αὐτῆς πάνυ τοι πλείστοις καὶ τοῖς ἄλλοθεν καὶ πάντοθεν ἐπιδήμοις πάνυ τοι πλείστοις ἀρκεῖ καὶ ἀνθεῖ τοῦ καλλίστου τῶν λόγων ἔαρος ἀεὶ καὶ ἀκμάζει τὸν ἅπαντα

---

[240] θιγάνη V
[241] τομὸς V
[242] εὔγαιως V
[243] πορισθεὶς ego : πορισθῆς V

χρόνον, ἐξοῦ καὶ γέγονε· καὶ οὐ πώποτε πέπαυται κατὰ φύσιν οὔτε μὴν πεπαύσεται χορηγοῦσα· καὶ τὸ μέλλον ὁ πολὺς παρήκων χρόνος ἀσφαλίζεται καὶ μάρτυς πάνυ τοι πιστὸς ἐγγυᾶται τῆς ἄνωθεν οἰκονομίας περὶ τ᾽ ἀνθρώπινα καὶ τὴν τῶν βελτίστων πρόνοιαν, ἔστ᾽ ἂν ἀνθρώπους γῆ τρέφει καὶ σοφία τρέφει μάλιστα, τοὺς λόγους τούτους καὶ τὴν δόξαν ταύτην ἑστῶτα εἶναι καὶ μένειν ἀσάλευτα πειθούσης καὶ τὴν πόλιν γέ τοι παραπλησίως ἀσάλευτον ἐπὶ ταῖς θείαις ἀεὶ χερσὶν ἑστήξειν καὶ μένειν πειθούσης τὸ κοινὸν ὄφελος καὶ τὸν κοινὸν τῆς ἀνθρωπίνης ἁπάσης ζωῆς καὶ χρείας λιμένα καὶ τὴν τῆς οἰκουμένης, ᾗ δὴ καὶ πρότερον εἴρηται, πάσης καρδίαν· καὶ ψυχήν γε μὴν εἴρηται, καὶ καλῶς γ᾽ ἐμοὶ δοκεῖ καὶ οὐχ᾽ ὡς ἄν τις εὖ φρονῶν νεμεσήσαι, καὶ οὐ περὶ τῆς σοφίας ἔγωγέ φημι μόνον, περὶ ἧς νῦν ὁ λόγος, καλλίστου τοῦδε τοῦ κτήματος τελεσιουργόν τε καὶ ἀρχηγέτην, ἀλλὰ καὶ περὶ πάσης ἁπλῶς τῆς ζωῆς καὶ τῆς οὐσίας εὖ τε εἶναι καὶ μένειν κατὰ χώραν ἐν ἀσφαλεῖ καὶ ἡδράσθαι.

76. Ἤ τί γὰρ οὐκ ἐνταῦθα ἢ τί γὰρ οὐκ ἐντεῦθεν ἅπασιν ἀνθρώποις πηγάζει, τὰ μέν γε οἴκοθεν αὐτῆς τῆς χώρας καὶ τῆς πόλεως αὐτῆς καὶ τὰ πλείω μάλιστα; Εἰ δέ τι καὶ ὁ,τιοῦν ἄλλη φέρει, ἀλλὰ καὶ τοῦτο τῇδε φέρει, καὶ πάντοθεν ἥκει (f.281[r])σπουδῇ τῇ πόλει, καθάπερ εἴς τινα κοινὸν ὅλῃ ῥύμῃ κατὰ φύσιν τόπον, ὡς ἄρα καὶ ὁρῶμεν ἕκαστον τῶν ὄντων φύσιν ἔχειν εὖ μάλ᾽ ἐπείγεσθαι καὶ ζητεῖν τὴν οἰκείαν αὐτοῦ χώραν καὶ τόπον τὸν κατὰ φύσιν. Ἀχρεῖον μὲν τ᾽ ἂν εἴη καὶ ὁποιονοῦν τῶν καλλίστων τε καὶ τιμίων κατὰ χώραν οἴκοι μένον, οὐδὲν ἧττον ἀλλ᾽ ἢ καθάπερ ὁρῶμεν ἀτεχνῶς αὐτὰ τὰ πάρεργα τῆς φύσεως καὶ τἀμβλώματά γε τῆς φύσεως καὶ τὰς ἀνονήτους[244] παντάπασιν ἀτυχίας, ἂν μὴ τῇδε κάλλισθ᾽ ἥκοι σπουδῇ πάσῃ καὶ δρόμῳ παντὶ καὶ τρόπῳ

[244] ἀνονήτους V[pc] : ἀνοήτους V[ac]

παντὶ καὶ <ὅπως>[245] τῆς κοινῆς ἁπάντων, ὡς εἰπεῖν, κατὰ φύσιν χώρας ἐπιτυχῶς ταυτησὶ λάβηται, ἐφ' ἧς εὖ τ' εἶναι μόνης καὶ μένειν ἔχει καὶ[246] δείκνυσθαι καὶ ὁπηοῦν εἶναι χρήσιμον[247]. Οὐκοῦν ἅπαντ' ἐρανίζεται καὶ συλλέγεται τῇ πόλει καὶ τάχιστα καὶ ῥᾷστα πάντοθεν, ὅσάττα πάντων ἐστὶν ἀπόλεκτά τε καὶ ἴδια, ταῦτα μὲν τούτων, ταῦτα δ' ἐκείνων, πάντα δ' οὖν γίγνεται τελευτῶντα κοινὰ τῇ πόλει καὶ δι' αὐτῆς ἅπασιν ἀνθρώποις. Οὔκουν γέ ἐστιν ὁτουοῦν τῶν ὄντων ἐπὶ τῆς γῆς ἀμηγέπη καὶ σπανιωτάτων ἀτευκτεῖν οὔτε τῇ πόλει οὔτε μὴν παρὰ τῆς πόλεως ἅπασιν ἐπιχρείοις ἀνθρώποις. Ἀλλ' αὕτη τὸ κοινὸν ταμεῖον ἁπάσης τῆς οἰκουμένης καὶ ὧν ἡ γῆ καθόλου πάντων δίδωσι καθάπερ ἀμέλει τὰ παρ' ἑκάστοις ἴδια καὶ οἶκοι τῶν παρ' ἑκάστοις ἰδίων καρπῶν καὶ φόρων[248]. Κἀνταῦθα λοιπὸν κοινὴ κομιδὴ πάντων ἐξ ἄρα πάντων, κἀντεῦθεν ἡ κοινὴ φορὰ τῶν ἁπάντων ἅπασιν, οἷς ἄρα δεῖ καὶ ὧν ἄρα δεῖ· κἀντεῦθεν πᾶν ὁ,τιοῦν, ὃ ποθεῖ τις καὶ προσδοκᾷ, ταχὺς αὐτίκα καὶ ζητεῖ καὶ λαμβάνει καὶ οὐδὲν ὅ,τι οὐ τῶν ὄντων οὐδ' ὅστις οὔ, καὶ ὅσοι τῶν ἐπιφανεστάτων τε καὶ μεγάλῃ συζώντων τύχῃ καὶ ὅσοι τοὐναντίον· κἂν εἴ τις ἁπάντων ἀμαθέστατος, ἡ χρεία γε τὸν νοῦν τῆς εὑρέσεως τῇδε πορίζει καὶ τὸ μέγα τῆς πόλεως ὄνομα.

77. Καὶ λιμένες οὗτοι τοιγαροῦν, οὓς ἄρα πάνυ τοι πλείστους (f.281[v])ἡ πόλις κύκλῳ περὶ αὐτὴν ἔχει, μᾶλλον δ' εἰπεῖν, αὕτη κύκλῳ συνέχει καὶ μάλιστ' ἔσω κατ' αὐτὴν εἰσοικίζεται καὶ οὓς ἄρα τοσούτους ὑπὸ φιλανθρωπίας, οἶμαι, τοῖς καταίρουσι προΐσχεται καθάπερ ἐκ χειρῶν ἀντιλαμβανομένη πλείστων, λιμένες γοῦν οὗτοι πάντων ἀσφαλέστατοι καὶ πάντων μάλιστ' ἄσειστοι καὶ ἀζήμιοι. Οἱ δὲ τοσούτοις ἀμέλει κατάπλοις, ὡς εἰπεῖν, στενοῦνται καὶ ἀεὶ πλέω

---

[245] ὅπως addidi
[246] ras. post καὶ V
[247] χρήσιμα V
[248] φόρων V[pc] : φορῶν V[ac]

πάσης ναυτιλίας καὶ θαλαττουργούντων ἐπὶ κομιδῇ καὶ φορᾷ πάσης χρείας δείκνυνται καὶ οὐ κάμνουσιν ὥσπερ ἐπαχθιζόμενοι τοσαῦτα δὴ πλεῖστα, οὐδ' ἔστιν ὅτε καὶ ἀπωθεῖται τοὺς ἐνδεεῖς τῶν αὐτῆς ἡ μεγαλοψυχία τῆς πόλεως, ἀλλ' ἀφθόνως ἔχουσ' ἐπαρκεῖν ἐλευθερίως τὸν ἀεὶ χρόνον ἅπασι νέμει· καί, καθὼς αἱ φιλόστοργοι μητέρες τοῖς τέκνοις, ἅπασιν ἀνθρώποις πάντοθεν ἐπιδήμοις κατὰ δή τινα τὴν χρείαν τὰς ἀγκάλας αὐτῆς ὑπανοίγουσα τῶν λιμένων, ὧν, ὡς ἔφην, ἐν σπλάχνοις εἴσω φορεῖ, χορηγεῖ πᾶσι καὶ διοικεῖται τὴν χρῆσιν ἅπασαν ἑκάστοις οὔτε φιλανθρωπίας οὔτε νομῆς ἐλλείπουσα πώποτε οὔθ' ὑποδοχῆς καὶ χώρας ἅπασιν, ὥστε προσδοκᾶν ἐπ' ἀσφαλοῦς [ὥστε][249] ῥᾷστα χρῆσθαι καὶ πιστεύοντας ἥκειν τῇ τῆς πόλεως μεγαλοψυχίᾳ κατ' ἀμφότερα, καὶ χώραν ὑποδοχῆς ἄλυπον καὶ τύχην τῆς χρείας ἑτοίμην, καὶ πάνυ τοι μετὰ ῥᾳστώνης λοιπὸν ἥκοντας πράττειν κατ' ἐλπίδας καὶ ἀνύτειν, ὡς ἂν γνώμη σφίσι καὶ βούλησις προὔκειτο. Ὡς ἄρα γε καὶ λιμὴν ἡ πόλις ὄντως, ἐμοὶ δοκεῖν, κοινὸς ἅπασιν ἀνθρώποις ὁρᾶται πάσης ἀπορίας εὖ καταστῆναι καὶ ὁρμίσασθαι τόν τινα τοῦ βίου κλύδωνα καὶ τῆς τύχης καὶ φάρμακα τῆς πόλεως λαβεῖν ἁπάσης κακοπραγίας καὶ τὴν ἐνοχλοῦσαν ἑκάστοτε συμφορὰν ἰάσασθαι καὶ μεταθέσθαι· καὶ λιμένες μὲν ἄλλοι τινὲς ἄλλῃ χορηγίας ἔρημοι καὶ διὰ τοῦτ' ἄρα καὶ τῶν καταιρόντων ἔρημοι κομίζειν τε καὶ φέρειν ἄττα δή, καὶ καλόν, ὡς εἰπεῖν, ἀνόνητον καὶ ἄλογος φιλανθρωπία βιούντων τε (f.282[r])καὶ χρωμένων ἀνθρώπων ἀπουσίᾳ δι' ἄλλην τιν', ὡς ἔοικεν, ἀχρηστίαν ἢ φύσεως ἢ τύχης.

78. Χῶραι δ' ἄλλαι καὶ πόλεις ἀλλαχοῦ τῆς γῆς εὐφοροῦσαι καὶ καλῶς πράττουσαι τὰ οἴκοι καὶ καλῶς πράττειν ἐς κοινωνίαν ἀνθρώπων οἷαί τ' ἂν οὖσαι δυστυχοῦσι τὴν ἀκαιρίαν τῶν τόπων καὶ τὸ τῶν πολλῶν ἀκοινώνητον καὶ ἄμουσον καὶ ἀγριωπὸν καὶ διὰ λιμένων στείρωσιν ἀποτειχισθεῖσαι πρὸς

[249] ὥστε seclusi

πάντας ἀνθρώπους καὶ πάντων ἀπέλαστοι κατάπλων ὀρφανισθεῖσαι κατάκλειστοί τε καὶ ἄμικτοι καὶ ἀσυντυχεῖς κἀντεῦθεν ἄρα καὶ ἀσυντελεῖς τῇ κοινῇ φύσει καὶ ἀφιλάνθρωποι οὐκ ἔχουσιν οὔθ' ἑαυταῖς ὅ,τι χρήσαιντο λοιπὸν οὔτ' ἄλλοις, ἀλλ' ἀηδῆ καὶ ἀνόνητον καρποῦνται τὴν εὐδαιμονίαν, ἣν ἄρα δὴ καὶ παραπλησίως τοῖς ὄναρ πλουτοῦσιν οὐκ ἐπ' ἀνθρώπων ἐμφανῶς ἔχουσι[250] εὐπραγεῖν καὶ δείκνυσθαι τῆς τύχης διαρκῶς. Ἀλλ' ἡ πόλις ἁπάντων ἐπιτυχὴς ὁμοῦ καὶ κατ' οὐδὲν ὁ,τιοῦν ἧττον ἔχει καὶ χηρεύει τῶν βελτίστων ἑαυτῇ τε καὶ παντὶ τῷ βίῳ καὶ πᾶσιν ἀνθρώποις καὶ τὰ οἴκοι μάλιστ' εὐδαιμονοῦσα κατὰ πάντας τρόπους εὐζωίας. Ἡ δὲ καὶ κοινόν ἐστιν ἀμέλει πάντων ἀγαθὸν καὶ σύνδεσμος βίου καὶ πολιτείας κοινῆς ἀνθρώπων ἀνάγκη καὶ ἀνθρωπίνης εὐνομίας ὑπόθεσις καὶ ἀφορμὴ καὶ συνεχείας ἑνὸς κόσμου, μᾶλλον δὲ τοῦ παντὸς κόσμου μονῆς ἀφορμή, δι' ὧν ἔλαχε καὶ ἰσχύει πρὸς τὸ κοινὸν ἀνθρώπων καὶ Θεοῦ προνοίας ἐνέχυρον, μέχρις ὅτου περίεστι καὶ βιοῖ καὶ δείκνυται, καὶ τὸ πᾶν ἀσφαλῶς καθόλου γ', ὡς ἔπος εἰπεῖν, μένειν καὶ θαῤῥούντως ἵστασθαι· καὶ κοινὸν γὰρ χρήσιμον ἁπάντων καὶ πάντες τἀνύσιμον τοῦ βίου καὶ τὰ λυσιτελῆ τῆς ζωῆς ἐντεῦθεν πορίζονται. Κἀνταῦθα τὰ πάντων ἀνθρώπων πράγματα κἀντεῦθεν τὰς ἀρχὰς ἔχει καὶ ἀεὶ κοινὰ πρὸς ἅπαντας ἀνθρώπους αὐτῇ· καὶ ἀεὶ πάντων ἀνθρώπων ἐνταῦθα ἀγορὰ καὶ τὰ καθήκοντα σφίσιν ἑκάστοις τῇδ' ἀλλάγματα καὶ προφάσεις ἐπιμιξίας ἀλλήλοις ἐνταῦθ' ἅπασι (f.282^{v})καὶ πάντες τοῖς ἑαυτῶν καὶ τοῖς ἀλλήλων τῇδ' ἔχουσι μάλιστα χρῆσθαι· καὶ τοίνυν, ὅπερ δὴ τὰ συσσίτια τῶν πόλεων ἐνίαις εἶχε πάλαι καὶ τόπος τις αὐτοῖς εἰς τοῦθ' ὥριστο, τοῦθ' ἡ πόλις δοκεῖ μοι νῦν ἀτεχνῶς τῶν ἀπὸ πάσης τῆς οἰκουμένης ἀνθρώπων καθάπερ τις οἶκος εἶναι

[250] ἔχουσι V^{pc} : ἔχοντες V^{ac}

καὶ[251] τόπος κοινὸς συσσιτίων καί, ὥσπερ παντοίας ἀγέλης θρεμμάτων, τῶν τῆς γῆς ἁπάντων ἀνθρωπίνων θρεμμάτων εὐφυέστατα καὶ ἐπικαιρότατα κοινὰ συννόμια· καὶ πάντων ἀνθρώπων καὶ ἐθνῶν φύσεις καὶ πάντων ἀνθρώπων γλώττης ἰδιότης καὶ ἄλλων ἄλλ' ἔθη παντοῖα κοινωνεῖν πως ἐνταῦθα ἔχει τῇ πόλει τὰ σφέτερα αὐτῶν ἕκαστα καὶ πολιτεύειν καὶ ἀνύτειν ὁ,τιοῦν χρήσιμον οἴκοι· καὶ οὐκ ἔστιν οὐδ' ὡντινωνοῦν ἀνθρώπων οὐδ' ὁτὲ τῶν καιρῶν τὴν πόλιν οὐχ ὁρᾶν ἔρημον ἀλλ' ἀεὶ καὶ πάντων ἔποικον καὶ πάντων παμπλήρη.

79. Καὶ μὴν ἕκαστοι μὲν ἔχουσιν ἐν τοῖς σφετέροις οἴκοι πατρίδα τινὰ καὶ τροφὸν καὶ νόμους οὕστινας πρὸς ἀλλήλους κοινοὺς καὶ κοινὰ δόγματα καὶ βουλεύματα καὶ πολιτεύματα ἄττα καὶ ἀλλάγματα καὶ διαφορὰς ἐθῶν προσηκούσας ἄλλοις ἄλλας κατὰ βίοτον ὁντιναοῦν πάλαι τῶν χρόνων ἡρμοσμένον. Ἔχουσι δ' ἕκαστοι καὶ κοινὴν ὥσπερ ὁμοῦ πατρίδα καὶ τροφὸν τὴν πόλιν τήνδε· καὶ πράττειν ἐπὶ ταύτης ἄττα καθ' αἵρεσιν καὶ νόμιμον ὡσανεὶ ξυντυχίαν ἔχουσι, καὶ πράττειν ἅμα μὲν πρὸς ἀλλήλους οἱ ἀπὸ τῆς αὐτῆς τὰ εἰωθότα, ἅμα δὲ πρὸς ἀλλήλους ἅπαντας ἕκαστοι κάλλιστ' ἐπὶ τῆσδε τῆς πόλεως· καὶ τοῦτ' αὖθις κατ' ἔθος καὶ νόμιμον ἀκίνητον τῆσδε τῆς πόλεως ἐκ μακρῶν τῶν χρόνων. Καί τις ἔοικεν εἶναι, τρόπον τινὰ τοῦτον καινότερον, ἐνταῦθα κοινοπολιτεία πάντων ἀνθρώπων τελεσφόρος εἰρήνης εἰς τὸν κοινὸν βίον ἀνθρώποις ἅπασι· καὶ πάντ' ἀλλήλων οἴκοι τε καὶ ἄλλη πη κατὰ φύσιν ἄμικτα καθάπαξ ἄττα ἔθνη τῇδε κοινωνεῖ τῇ πόλει (f.283[r])καὶ μέσῃ διαλλάττεται· καὶ ξυμβαίνει πως ἐπὶ ῥητοῖς ἐμπρόθεσμα ταύτῃ δὴ καὶ τακτοῖς ὅροις ἀνάγκην ἀσάλευτον ἔχει πείθεσθαι καὶ βιοῦν ἔνσπονδα καὶ βιοῦν ἀνθρωπίνως μετ' ἀλλήλων, μᾶλλον δὲ μετὰ τῆς κοινῆς φύσεως, οὐ κατὰ τὰ τῶν ἀλόγων ἔνια δηλαδὴ ζῴων καὶ θηρίων, τὰ μάχην ἄπαυστον ἀνῃρημένα πρὸς

[251] καὶ V[sl]

ἅπαντα καὶ ἀκατάλλακτον τὸν ἅπαντα αἰῶνα· καὶ συναγελάζεται τά γε τέως ἀλλήλοις ἰταμῶς ἔχοντα καὶ ἀτίθασα[252], τῆς πόλεως ἐγγυωμένης, ἢ μᾶλλον τὰς ἐγγύας αὐτὰ τῆς καταπαύσεως τοῦ πρὸς ἀλλήλους πολέμου καταθέμενα καὶ σαφῶς ἀποδόντα τῇ πόλει, οὐχ ὥσπερ τινὶ κοινῷ μόνον καθ' αἵρεσιν διαλλακτῇ ἀλλὰ καὶ ὥσπερ ἄρα κοινῷ τινι κατὰ φύσιν δεσπότῃ καὶ κρατεῖν ἔχοντι καὶ προστησαμένῳ τὸ κοινὸν ἀνθρώποις φίλιον. Οὐκοῦν, ὅστις ἂν βούλοιτο τὰ πάντων ἀνθρώπων εἰδέναι καὶ μορφὰς φύσεως ἑτεροίας ὡς ἄλλοις ἄλλα παντοῖα ἰδεῶν χαράττει κόμματα καὶ τρόπους καὶ θεσμοὺς καὶ τροφὰς καὶ ὅλως πολιτείας ἑκάστοις ἀγωγὴν καὶ βίου χρῆσιν, ἢ πάντῃ περιοδεύειν ἀνάγκην ἂν ἔχοι τῆς ἐκμαθήσεως ταύτης ἕνεκα καὶ γνώμης καὶ πείρας καὶ πονεῖν, ὡς ἀληθῶς, ἀπέραντα καὶ ἀνήνυτα· ἢ μᾶλλον, οὐδεμίαν εἰς τοῦτο τὴν ἀνάγκην τῶν πόνων ἔχει, ἀλλ' ἔξεστιν αὐτῇ μόνῃ τῇ πόλει χρῆσθαι περὶ τὸ σπουδαζόμενον καὶ μίαν εἶναί οἱ τὴν ἀνάγκην ταύτην μόνην πρὸς τὴν πᾶσαν εὖ μάλ' ἀνύτειν ἔχουσαν τἀνδρὶ βούλησιν, ἐνταῦθα τῇ πόλει γίγνεσθαι, ὥσπερ ἐν ἀπόπτῳ τινὶ καὶ περιόπτῳ πάντων ἀνθρώπων ἑνὶ χώρῳ καὶ ξυμφανεῖ πάντοθεν καὶ διδασκαλείῳ κοινῷ τῆς γῆς, καὶ τάχιστα καὶ ῥᾷσθ' οὕτω δὴ περὶ πάντων ἐφορᾶσθαι καὶ ῥᾷστ' ἐκμανθάνειν ἅπαντα δὴ κατ' αὐτοὺς καὶ ἄλις εἶναί οἱ κατὰ τὴν πόλιν τοῦ πόθου καὶ τοῦ λοιποῦ πράγματ' οὐκ ἔχειν, ἣν ἄρα σωφρονεῖν βούλοιτο πολυμαθέστατος ὢν ἐρᾷ τῆς πόλεως (f.283^{v})αὐτίκα γενόμενος· καὶ βέλτιον ἴσως ἢ καὶ εἰ παρ' ἑκάστοις ἔθνεσιν ἐπόνει καὶ πλάνον ἐφορεῖτο παμμήκη τινὰ καὶ πολύστροφον.

80. Καὶ μὴν ἐνίων ἤκουσα λεγόντων καὶ αὐτὸς ἔγωγ' ἔδοξα πολλάκις ἄμεινον εἶναι πολλῷ κατ' ὀλίγα πάνυ τοι βιοῦν ἔτη πλείστοις, ὅσον οἷόν τ' ἂν εἴη, ξυνόντα καὶ συνανακοινούμενον ἀνθρώποις καὶ πράγμασιν ἢ κατὰ πλείω

[252] ἀτίθασσα V

μάλιστα μετ᾽ ὀλίγων αὐτὸν[253] συνεξεταζόμενον καὶ τὸν τρόπον δὴ τοῦτον ἀπαντλοῦντα βίοτον μακραίωνα· καὶ τοῦτ᾽ ἂν εἴη κέρδος μάλιστα τοῦ βίου καὶ πολὺ κέρδιον, τὸ[254] ἐπὶ μείοσι τοῖς χρόνοις τὸν βίον οὕτως ἄρ᾽ ἀνύτοντ᾽ ἐκμετρῆσαι καὶ ξυμπεράναι τάχιον πολλοῖς ξυντετυχηκότα πράγμασι, πολλὰ[255] μάλ᾽ ἰδόντα, πολλῶν ἀμέλει πεπειραμένον καὶ κοινωνήσαντα ἢ μακρά τις ζωῆς ἐρημία καὶ πολὺς ἐτῶν ἀριθμὸς μετ᾽ ὀλίγης ἔργων τε καὶ πραγμάτων τῆς τύχης ἐκτήκων καὶ δαπανώμενος καὶ τῶν καλλίστων, οἶμαι, θεαμάτων χηρεύων, ὥσπερ ἀηδεῖ σκότῳ τινὶ καὶ νυκτὶ πολυμήκει ξυλλαχόντα τινὰ καὶ κατατεινόμενον τὴν ζωὴν ἢ κατάκλειστον ὑπὸ γῆς[256] καταστενούμενον καὶ κατάκριτον, οὐκ οἶδ᾽ ὅπως ἐρεῖν, ἀβίωτον καί, ὡς ἀληθῶς, ἄχαριν τὸν βίον ἕλκοντα καὶ πονήρως ἔχοντα καὶ τυφλώττοντα τῶν βελτίστων τῆς ἐποπτείας καὶ ξυντυχίας καὶ πάσης εὐκολίας βιωτικῆς[257] καὶ χρήσεως ἐῤῥαστωνευμένης δυστυχοῦντα καὶ ὀλιγοπνοοῦντα μακρὸν δρόμον καὶ ὥσπερ ἐν νεκροῖς βιοῦντα καὶ πολιτευόμενον. Ἀλλ᾽, εἰ τοῦτ᾽ ἄρα καὶ πᾶς ἂν οὕτως, οἶμαι, συνετῶς ἐπιστατῶν τε καὶ κρίνων δόξαι, μακροβιώτατοι τῶν ἄλλων ἂν εἶεν οἱ τῇδε συζῶντες τῇ πόλει τόν γε τρόπον τοῦτον ὄντως καὶ πολυολβώτατοι τῆς ζωῆς ὑπὲρ ἑκάστους ἑκάστης καὶ χώρας καὶ πόλεως· καὶ παραβάλλειν οὐκ ἔστιν ἄττα δὴ τῶν ἄλλων τῇ περιουσίᾳ τῇδε καὶ τῷ πλούτῳ τῷδε τοῦ βίου καὶ τοῖς ἐγχωρίοις καὶ ξένοις ἐπιδήμοις τῇ πόλει (f.284^{r})πράγμασι καὶ ἀνθρώποις καὶ τῇ πάντοθεν ἐνταῦθα εὐπορίστῳ ξυμβιώσει καὶ παμπληθεῖ κοινωνίᾳ καὶ ξυντυχίᾳ καὶ κοινῇ τῶν τῆς οἰκουμένης καὶ ἀνθρώπων τε καὶ πραγμάτων ἐνθάδ᾽ ἀγορᾷ πληθούσῃ τὸν ἀεὶ χρόνον, ὡς εἴρηται, οὐ νῦν μὲν ἴσως, νῦν δὲ οὔ, ἀλλ᾽ ἐπίσης

---

[253] αὐτὸν V^{pc} : αὐτῶν V^{ac}
[254] τὸ V^{pc} : τοῦτ᾽ V^{ac}
[255] πολὰ V
[256] γῆς V^{pc} : γῆν V^{ac}
[257] βιωτικῆς V^{pc} : βιοτικῆς V^{ac}

ἀεί. Καὶ τοῦτο πρὸς τοῖς ἄλλοις μάλιστ᾽ ἂν εἴη τῆς πόλεως ἡμῖν κέρδος, ὡς πλεῖσθ᾽ οὕτω λοιπὸν βιῶσαι καὶ ὡς κάλλιστα μὲν οὖν καὶ ὡς ἄν τις εὔξαιτο· καὶ λόγος οὐδεὶς πρὸς τὴν παρ᾽ ἡμῖν μακαρίαν καὶ οἱστισινοῦν ἀνθρώπων εὐδαιμόνων εὖ μάλα δοκοῦσι τιμίοις πράγμασι, καὶ πολλῷ βελτίους ἂν εἶεν οἱ τῇδε ζῶντες ἀνύτοντες εὐαριθμήτους περιόδους ἐτῶν ἢ καὶ ἄλλῃ πῃ διπλασίας ἢ καὶ πολλαπλασίας[258]· καὶ κομιδῇ τις ἡδέως ἀλλάξαιτ᾽ ἂν καὶ ὀλίγον ἐνταῦθα βίον τῶν παρ᾽ ἄλλοις μακρῶν ἐτῶν καὶ τοῦ πολλοῦ τῶν ἡμερῶν ἀριθμοῦ καὶ τῆς συλλογῆς πρὸς τὴν τῆς εὐζωίας αὐτὴν ἕξιν καὶ περιουσίαν ἀληθεύουσαν ὄντως καὶ τοῦ πράγματος ἐπώνυμον ὡς εἰκὸς καταμετρούμενος.

81. Καὶ εἰ τὸ ζῆν αἰσχρῶς αἰσχρὸν ὡς ὁ λόγος, καὶ τοῦδ᾽ ἄμεινον τὸ θανεῖν· ἦ που πολλῷ γε ἄμεινον, ὥστε καὶ παραβάλλειν ἀντὶ πολλῶν ἀτίμων ἐτῶν ὀλιγόχρονος μὲν ἀλλὰ πλήθουσα εὐδαιμονία καὶ τύχης ἀκμὴ[259] καὶ εὐετηρίας. Καὶ τὸ μὲν κατθανεῖν, φησίν, ὀφείλεται, κἂν εἰ πλεῖστά τις βιώσαι καὶ οὐδὲν μᾶλλον ἢ εἴ τις ἐλάχιστα· καὶ τὴν τῆς ζωῆς μοῖραν οὐκ ἔστιν ὑπεκφυγεῖν ἀλλὰ τὸ τέλος τοῦ βίου πᾶσιν ἴσον μένει καὶ ἴσον γε δοκεῖ πρὸς τοῖς ἐσχάτοις, ὡς ἀληθῶς, καὶ ὅσοι τῆς ζωῆς ἐπὶ μήκιστον ἔδοξαν ἀπολαῦσαι καὶ ὅσοι τοὐναντίον· τὸ δ᾽ ἐνευπραγῆσαι τῇ ζωῇ καὶ ὁποσονοῦν τῶν χρόνων καὶ κάλλιστα τυχεῖν ταύτην ἐκμετρήσαντα βέλτιστα χρησάμενον οἷς ξυνέλαχεν ἔτεσι, τοῦτο τοῦ βίου τὸ κέρδος καὶ πᾶσι μᾶλλον εὐκταῖόν τε καὶ πολυέραστον, ἢ πολλὰ ἔτη πονήρως οὐδενὸς ἀπολαύοντα τῶν ἀγαθῶν τε καὶ ποθεινῶν καὶ (f.284^{v})χρησίμων. Πλάτων μὲν οὖν Ἡρόδικον τὸν ἐκ Σηλυβρίας αἰτιᾶται πονηρῷ ξυλλαχόντα σώματι τῶν πολλῶν ἐκείνων καμάτων καὶ γυμνασμάτων καὶ τῆς τοῦ ζῆν ἐπιμελείας ὡς ἄρα μακρὸν ἑαυτῷ τὸν θάνατον παντὶ τρόπῳ

---

[258] πολλαπλασίας V^{pc} : πολαπλασίας V^{ac}
[259] expectes ὀλιγόχρονον μὲν ἀλλὰ πλήθουσαν εὐδαιμονίαν καὶ τύχης ἀκμὴν

πράξαντα καὶ πολλὴν εἰς τοῦτο πρόνοιαν φροντίσαντα καὶ παρασκευὴν κακῶς πάνυ τοι καὶ ἀμαθῶς, ἐξὸν πάλαι μετὰ τοῦ ζῆν πολλῶν ἀπηλλάχθαι πραγμάτων καὶ πόνων. Ὅτε δὲ τοῦθ' οὕτως ἔδοξε, ἦ[260] που δῆλον καὶ παντὶ ὡς ἐκεῖνος κάλλιστον ἂν ᾤετο καὶ ἀσπαστὸν καί, οἶμαί γε, τοῦ παντὸς τιμώμενον ὀλίγα 'ττα ἔτη μετ' εὐπραγίας καὶ τῆς κατὰ τὸ ζῆν εὐκολίας· καὶ ὄντως τοῦτ' εἶναι τὴν πολυζωίαν ἐν ἕξει καὶ περιουσίᾳ βιοῦν τῶν βελτίστων· εἰ δὲ μή, καθ' ὅσον οἷόν τ' ἂν εἴη, σπουδῇ πάσῃ φεύγειν αὐτὸν ἑκόντα τινὰ ἑαυτὸν καὶ τὸν βίον καὶ τὴν ἐν τῷ ζῆν ἀχρηστίαν ἑαυτοῦ, ἅτε μηδὲν ὂν[261] μήθ' ἑαυτοῦ μήτε τοῦ βίου τό[262] γε τοιοῦτον ὄφελος καὶ τὸ περὶ τὴν τοιαύτην ζωὴν λίχνον μικρογνωμοσύνης μεγάλην ἀπόδειξιν οὖσαν· καὶ γὰρ δὴ καὶ βέλτιον εἶναι τῷ παντὶ τὴν τύχην ἐνταῦθα αἰτιᾶσθαι ἢ γνώμης ἑαυτῷ καταδίκην καὶ ψῆφον οὐδενίας καὶ φαυλότητος καθ' ἑαυτοῦ παρασκευάζειν αὐτόν τινα καὶ κελεύειν οὕτω τοὺς πολλοὺς περὶ ἑαυτοῦ δοκεῖν.

82. Ὁ γε μὴν Σερίφιος[263] πολίτης παραίτησιν ἱκανήν τε καὶ ἀξιόλογον πρὸς Θεμιστοκλέα τῆς ἀπραξίας καὶ ἀτιμίας ἑαυτοῦ τὴν ὀλιγότητα τῆς πατρίδος ἀπέφαινε καὶ προὔφερε παῤῥησίᾳ καὶ τὴν μικρὰν τύχην ὡς ἀμέλει μὴ παρέχουσαν ἀφορμὰς εὐδαιμονίας καὶ περιφανείας εἰς τὰ πράγματα καὶ τὸν βίον· καὶ οἱ τόπων περιόπτων ἐν τῷ θεάτρῳ τῆς ζωῆς ταυτησὶ λαχόντες χώρας ἐπ' ἀληθείας ἱκανῶς ἔχουσιν, εἰ καλῶς ἔχουσιν, ἐφ' ἑαυτῶν δείκνυσθαι καὶ τοὺς τῶν πολλῶν ὀφθαλμοὺς καὶ λόγους εἰς ἑαυτοὺς ἕλκειν καὶ μέγιστον εἰς τιμὴν συνεκλάμπειν τοῖς ἔχουσι τόποις καὶ ταῖς πατρίσι. (f.285[r])Καὶ τοίνυν τοῖς ἐκ τῆς πόλεως ἡμῖν τῆσδε τῆς πάνθ' ὑπερφυοῦς καὶ μεγίστης πλεῖσταί δῆθ' ὅσαι πρὸς

---

[260] ἦ V[pc] : εἰ V[ac]
[261] ὄντα V
[262] τόν V
[263] Σίφνιος V

εὐδοξίαν ἀφορμαὶ καὶ οἷαι μή τινος ἄλλης ἄλλοις· καὶ ὁρώμεθα πάντῃ περιιόντες περιφανεῖς καὶ κομιδῇ λαμπροὶ λαμπρῶς καὶ ἀκούομεν πᾶσι τοιοῦτοι διὰ τὸ τῆς πόλεως ἀξίωμα καὶ τὴν τύχην, οἷς ἡμᾶς ᾠκείωσεν ἡ φύσις, ὅσοι καὶ γεγόναμεν τοῦ τοσούτου πράγματος ἐπιτυχεῖς καὶ τὸ πολίτην εἶναι τῆς τοιαύτης πόλεως. Τὸ μέγιστον αὐτίκα κλέος ἔρχεται καὶ περιφανέστατον κἀκ μόνης αὐτῆς ἀκοῆς καὶ τῶν τοσούτων πλεονεκτημάτων τῆς πατρίδος, συμπομπεύει γε ἡμῖν πάντῃ καὶ ὁρωμένοις τε καὶ ὁρῶσι καὶ ἀκουομένοις γε μὴν ὁ κάλλιστος αὐτόθεν θρίαμβος· καί, ὥσπερ οἱ μακρὰς κληρονομοῦντες οὐσίας καὶ πατέρων διαδοχὰς ἐπισήμους, κἂν εἰ μηδὲν ἔχοιμεν ἡμῶν αὐτῶν οἴκοθεν αὐτουργικὸν χρήσιμον, ἀπολαύειν ἔχομεν τῆς πάλαι προτέρας περιλάμπρου παρασκευῆς καὶ τοῖς πολλοῖς μακάριοι δοκοῦμεν καὶ ζηλωτοὶ τῆς ξυντυχίας ταύτης ἐκ τῶν προγόνων καὶ τῆς πατρίδος· καὶ νομίζεται θεία τις ἡμῖν μοῖρα τὰ τῆς πόλεως ἀγαθὰ τοσαῦτα καὶ ἡ λαμπρότης τῶν ἔργων τῶν ἐκ τοῦ παντὸς χρόνου καὶ τῆς τύχης ἐν τῷ παντὶ χρόνῳ· καὶ τὴν τύχην γὰρ ταύτην παλαιαὶ πρότερον ἐξ ἀρχῆς ἀνδραγαθίαι παρεσκεύασαν τῇ πόλει καὶ ἡμῖν καὶ προήγαγον καὶ μέγισται καὶ πολυώνυμοι τῶν ἁπασῶν ἄλλων ὁμοῦ πράξεις καὶ συντέλειαι τῶν οἰκησάντων εἰς τοσοῦτο δὴ διεδέξαντο πάντοθεν καὶ συνεσκεύασαν καὶ κατεστήσαντο· καὶ μακρὸς ἐκεῖθεν ὁ πορισθὴς τοῦ κλέους τῇ πόλει χρόνος καὶ συνεχὴς περὶ τὰ κάλλιστα.

83. Καὶ ἔγωγ' ἐσκοπούμην καὶ οἷός τ' ἦν τῶν λόγων ἀρχόμενος εἰς τὴν παροῦσαν ὑπόθεσιν καὶ περὶ τῶν μεγάλων (f.285^{v})καὶ θαυμαστῶν ἐκείνων πράξεων, ἃς οἱ τήνδε τὴν πόλιν ἐξαρχῆς οἰκήσαντες Ῥωμαῖοί τε καὶ Ἕλληνες εἰς τὸν βίον ἐπεδείξαντο λαμπροὶ λαμπρῶς τε καὶ γεννικῶς καὶ τῆς πάντα μεγίστης τῆσδε πόλεως ἀξίως μάλισθ', ὅσον οἷόν τ' ἦν, προσέχων εὖ μάλα τὸν νοῦν διαλαβεῖν· καὶ γὰρ δὴ καὶ μάλιστα τουτὶ καιρὸν ἔχειν ἐνθάδε τῇ πόλει

πρὸς τὸν ὅλον σκοπὸν ἐξαρχῆς τῶν λόγων ἐφορῶντι καὶ πρὸ τῶν ἄλλων ἴσως ἁπάντων [καὶ τῶν ἄλλων ἴσως ἁπάντων][264], ὡς ἄν τῳ δόξαι, τοῦθ' ἱκανὸν εἶναι καὶ ἀντίῤῥοπον καὶ ἀντιτιμώμενον δικαίως ἄν. Ἐπεὶ δὲ τοὖργον τόδε παντὸς ἄλλου μᾶλλον δυσχερέστατον καί, ὡς εἰπεῖν, ἐπίπαν ἀνέφικτον πειρᾶσθαι καὶ μεγάλων ἀγώνισμα καὶ πρόθεσις ἂν εἴη κατεσπουδασμένη συντάξεων καὶ ἱστοριῶν καὶ βίβλων, ὡς ἄρα δὴ καὶ πολλοῖς τὰ τοιαῦτ' ἐπονήθη συγγράμματα, τοῖς μὲν τά, τοῖς δὲ τά, πάντως δὲ ἄλλοις ἄλλα τὸ μέρος καὶ οὐ πᾶσιν ἅπαντα, ὅτι μὴ δ' οἷόν τε, καὶ ἅμα τοσοῦτο μῆκος ἤδη τῶν παρόντων ἐξήκει λόγων, καὶ δέοι ἂν ἴσως τοῦ λοιποῦ φείδεσθαι πολυπραγμονεῖν ἀμέλει τὰ τοιαῦτα καὶ τρίβειν καὶ τῶν χρόνων ἐξαρχῆς ἄνωθεν ἐπιχειρεῖν, ἐμοὶ δοκεῖν, οὐκ ἔξω λόγου παντάπασιν ἀφέμενος. Τοσοῦτό μοι δοκῶ νῦν γε εἶναι περὶ τούτων ἐνταῦθα προσθεῖναι καί, καθ' ὅσον ἔξεστιν, ἔμβραχύ γ' ἐρεῖν ὅτι δῆτ' ἄρα τὴν πόλιν ταύτην συνῴκησαν τὸ ἀρχαῖον εἰς δεῦρο νῦν ἐκεῖνοι Ῥωμαῖοί τε καὶ Ἕλληνες, ὡς ἔφην, οἱ καταστησάμενοι σφίσιν ὑπὸ χεῖρα πᾶσαν ὅσην οἰκεῖν ἔλαχον ἀτεχνῶς ἄνθρωποι· καὶ ταύτης εἰσὶν ἐπώνυμοι καὶ πολῖται τῆς πόλεως, οἱ τῆς οἰκουμένης ἐπώνυμοί τε καὶ ἄρχοντες καὶ κτῆμα κύκλῳ πᾶσαν παραστησάμενοι τὴν γῆν, ὡς ἄλλοις ἄλλων ὠντινωνοῦν πόλεων τροφίμοις ἔχει τὰ περίοικα σφίσιν ἔγγιστα ἄστη τε καὶ χῶραι[265].

84. Καὶ μὴν ὅστις ἂν οὐ ξυλλογίζοιτο λοιπὸν (f.286[r])ἐνταῦθα τὸ τοσοῦτον ὅπως ἄρ' ἐκεῖνοι κατεπράξαντ' ἔργον, οὐ πώποτ' ἀμέλει καὶ νῦν πρότερον γεγονὸς τοσοῦτο δὴ μὴ δ' ἔχον ὅλως παράδειγμα καὶ μεθ' ὅσων τῶν ἀγώνων τε καὶ τῶν πόνων καὶ τῆς σπουδῆς καὶ τῆς φιλοτίμου προθέσεως καὶ παρασκευῆς καὶ τῶν γε κινδύνων ἑκάστοθ' ὅσων συνεσκευάσθη πρᾶγμα

---

[264] καὶ τῶν ἄλλων ἴσως ἁπάντων seclusi
[265] χώρα V

τοσοῦτο καὶ τοσαύτη τις ὑπόθεσις εἰς τὸν βίον καὶ πραγματεία καὶ δι' ὅσων ἤρθη τῶν ἀπὸ πάντων ἐθνῶν καὶ πάσης καθόλου τῆς γῆς τροπαίων τοσοῦτο φρόνημα τῇ πόλει καὶ μέγεθος ἀρχῆς καὶ ὄγκος, ὅστις ἂν οὖν ἄρα ταῦτα μὴ καλῶς ἔπειτα συλλογίζοιθ', ὡς ἔφην, καὶ κατὰ νοῦν περαίνοι βλέπων εἰς τὸ πρᾶγμα, ἀπορῶ σαφῶς ἔγωγε λοιπὸν καὶ κομιδῇ θαυμάσαιμ' ἂν τίς οὕτω δυστυχὴς ἂν εἴη. Καὶ πόῤῥω τῶν εἰκότων αὐτῶν τῆς φύσεως καὶ πόῤῥω τῶν ὄντων ἐκεῖνοι τὴν πόλιν ᾤκησαν ταύτην καὶ συνῴκισαν ἐκ μικρᾶς μεγίστην καὶ προῆγον ἑξῆς ἀεί, εἰς ὅσον ἔτ' ἦν μῆκος πλέον, οὐ χωροῦσαν, ἔοικε, τοσοῦτο μέγεθος εὐδαιμονίας, οἱ τῇ μεγάλῃ χρησάμενοι τύχῃ καὶ τῷ ταύτης κράτει κατὰ πάντων ἀνθρώπων καὶ τῆς γῆς ἁπάσης ὑπερσχεῖν τε καὶ ὑποποιήσασθαι· ἐκεῖνοι, οἱ πᾶσαν τὴν οἰκουμένην ὥσπερ ἓν θέατρον τοῖς ὀφθαλμοῖς ὑποθέμενοι καὶ τοὺς ἐπ' αὐτῆς ἅπαντας ἀνθρώπους κατ' ἔθνη τε καὶ γένη πάντα καὶ καθ' ἑκάστους τε καὶ καθ' ὁμοῦ πλείστους ἔστιν οὗ, καθαπερεί τινας συνάθλους καὶ ἀνταγωνιστὰς ἐπὶ τοῦδε τοῦ θεάτρου σφίσιν ἀνεστηκότας καὶ πρὸς τοὺς ἄθλους ἀποδυομένους, καὶ τὴν κατὰ[266] πάντων αὐτοὶ νίκην ἀράμενοι καὶ τὰ ἀπὸ[267] πάντων κηρύγματα. Καὶ θεσμοθέτης ὁ τοσοῦτος χρόνος ἀεὶ τὰς αὐτὰς φέρων ψήφους καὶ τῶν ἄθλων αὐτοῖς νομεὺς καὶ τῶν συμβόλων τῆς νίκης ἑλλανοδίκης συμπεραίνων καὶ συγκαταδημιουργῶν σφίσιν ἔργ' ἀμίμητα· καὶ οὐδὲν οὐκ ἴσχυσαν ἐνταῦθα οὐ Κελτῶν (f.286^{v})καὶ Κελτιβήρων καὶ Γαλατῶν ὁπλισμοὶ καὶ φρονήματα μέγιστα καὶ πολλῆς ἰταμότητος καὶ ἀγερωχίας, οὐ Σκυθῶν τάχος, οὐκ Αἰγυπτίων σοφία, οὐχ Ἑλλήνων χρόνοις μακροῖς ἔθιμος ἐλευθερία, οὐ τῶν ἄλλων οὐδὲν ἐπὶ τῶν ἄλλων ἁπάντων ἐφορώμενον. Ἐκείνων ἐστὶν ὁ τῆς μεγάλης ἐκείνης ἡγεμονίας καὶ ἀρχῆς περίβολος καὶ τὸ μέγα

[266] ἀπὸ V
[267] κατὰ V

στρατόπεδον ἀπὸ τῆσδε τῆς πόλεως ἅπασιν ἀνθρώποις ὑποσημαῖνον[268] τὰ τῶν πρακτέων συνθήματα, ἐκείνων αἱ Βρεττανικαὶ νῆσοι, τὰ πρῶτα τῆς Εὐρώπης αὐτίκα καὶ πᾶσα λοιπὸν ἑξῆς Εὐρώπη συνεχὴς εἰς αὐτὸν Εὔξεινον καὶ τὰ κατ' αὐτὸν τὸν πόντον θαύματα καὶ Μαιῶτις καὶ Τάναϊς ἄνω πρὸς βορρὰν καὶ Καυκάσου περίοδοι καὶ Βακτρίων ὅροι καὶ Μήδων καὶ Ἄραβες[269] εἰς νότον καὶ κλέος ἀρχαῖον Αἰγύπτου καὶ γῆς ἀρετὴ καὶ πολυφορία ἴσα καὶ ταῖς ἄλλαις πόλεσιν οἱ πρόσοικοι ἀγροὶ τῇδε προσήκουσα τῇ πόλει, καὶ Λιβύης ἔπειθ' ἑξῆς ὅσον ἥμερον ἀνθρώποις καὶ χρήσιμον εἰς αὐτοὺς Γαδείρων πορθμούς, καὶ θάλασσα λοιπὸν ἐν μέσῳ τῆς ὅλης καὶ γῆς καὶ ἀρχῆς, ὥσπερ καὶ ἄλλος τις ποταμὸς διὰ μέσου ῥέων χώρας ἡστινοσοῦν κἀκείνῃ προσήκων[270]· καὶ τί ἂν ἔτι πράγματ' ἔχοιμι κάμνων ἀπέρανθ' ὡς ἀληθῶς, καὶ ἃ φυγεῖν προὐθέμην καὶ παρελθεῖν ἑκὼν ἔπειθ' αὖθις ἢ καὶ ἄκων ὑπ' ἀνάγκης, ὡς ἔοικε, τινὸς τρίβων περὶ ταῦτα καὶ μηδὲν ἀνύτων[271], οὔκουν γε καὶ ὁ,τιοῦν πρὸς τὸ τῶν πραγμάτων δίκαιον; Καί μοι δοκῶ καταπαύειν τοιγαροῦν περὶ τούτων, ἐκεῖνο δὲ καθόλου λέγειν ἔχομεν, ὡς ἄρα τὰ μὲν τῆς κοσμικῆς τῇ πόλει λαμπρότητος τοιαῦτα. Οὔκουν γέ ἐστιν ἐρεῖν οὔθ' ὅσα ταῦτα δὴ πάντα οὔθ' ὅλως οἷα παντάπασιν, οἶμαι μὲν οὖν, οὐδ' ὁπωσοῦν ἀξίως λόγου, πλὴν ὅτι τὰ πάντων τῶν ἄλλων μέγιστα καὶ πολλῷ γε προφέροντα καὶ παραβάλλειν ἀμηγέπῃ (f.287[r])τἄλλ' οὐ λείπεται προδήλως, εἰ μή τις μαίνοιτο.

85. Ἃ δὲ τῆς ἄλλης ἀμέλει μοίρας, ὅσα θειότερα, καὶ τὴν ἀπὸ Θεοῦ καὶ τῆς κατ' Αὐτὸν εὐσεβείας αὐτῇ φέρει δόξαν, οἷα δὴ κάλλιστ' αὐτῇ καὶ ταῦτα καὶ πρῶτα καὶ πολλῷ γε μὴν εἰς λαμπρότητα ταῦτα μείζω τῶν εἰρημένων. Δοκεῖ

---

[268] ὑποσημαίνων V
[269] Ἀῤῥαβες V
[270] προσήκων V[pc] : προσῆκον V[ac]
[271] ἀνύττων V

γὰρ δὴ συγκεκληρῶσθαι τῇ κατὰ Χριστὸν ἡ πόλις εὐσεβείᾳ τὸ ἐξαρχῆς εἰς νῦν πάντα διὰ πάντων καὶ ὅλως αὕτη γ' ἐκεῖθεν ἤρτηται καί, ὡς εἰπεῖν, οὐσίωται· καὶ φθάνει πρότερον εἰρηκὼς ὁ λόγος ὡς ἄρα καὶ τοῖς ἄλλοις αὕτη νῦν γε πηγάζει νόμιμα πίστεως καὶ δογμάτων θεοσεβείας συνθήματα καὶ πρόγραμμα τῆς πίστεως ἐξ ὑψηλῶν ἄνωθεν ὑπέρκειται πάσης τῆς οἰκουμένης, ὡς ἂν ταύτῃ γε ὁρᾶν καὶ προσέχειν εὖ μάλα καὶ τυποῦσθαι λοιπὸν ἐντεῦθεν τὴν ἀλήθειαν τῆς εὐσεβείας καὶ τὴν ἀκρίβειαν· καὶ τὸ παρεγγράφειν καὶ παραχαράττειν ὁ,τιοῦν ἢ χαράττεσθαι ὁπηοῦν ἔξω τῶν κατ' αὐτὴν ὅρων καὶ μέτρων κάκιστ' ἄνισόν τε καὶ νοσῶδες καὶ ὁ μέγιστος αὐτίκα κίνδυνος, χρῆναι δ' ἀκλινῶς παντάπασιν ἕπεσθαι καὶ προσομοιοῦσθαι, καθάπερ αἱ σκιαὶ τοῖς ἀνδριᾶσιν ἔχουσι καὶ ταῖς ἀνεχούσαις ἐπὶ γῆς στήλαις· καὶ μόνη γὰρ τοὺς τῶν πάντων καλῶν ἔχει κατὰ φύσιν ἄνωθεν ἀεὶ κανόνας ἑστῶτας καὶ μένοντας καὶ ἀτρέπτους καὶ ἀποιήτους ἀεί· καὶ μόνη τοὺς τῆς πίστεως ἐξαρχῆς αὐτὴ σπόρους ἀνοθεύτους τε καὶ καθαροὺς καὶ ὑγιαίνοντας δεξαμένη καὶ παμφόρους μὲν οὖν καὶ πολυφόρους γεωργεῖ πᾶσι τροφὴν ἑτοίμην[272] τε καὶ χρησίμην· καὶ μόνη τὰ κειμήλια τῆς θεοσεβείας παρακαταθήκην τὴν ἀρχὴν λαβοῦσα καὶ τὰς ἐντολὰς τῆς ἀσφαλείας αὐτῶν ὑποδεξαμένη καὶ ταμιεύουσα[273] πιστὴ ταῦτ' ἀζήμια κομιδῇ συντηρεῖ. Καὶ οὐ συντηρεῖ μόνον ἀλλὰ καὶ μεταδιδοῦσα (f.287^{v})ῥᾷστα καὶ φιλανθρώπως τε καὶ μεγαλοψύχως τοῖς ἑκάστοτ' ἐν χρείᾳ ἡ δὲ πᾶσι πάντοτ' ἀρκεῖ καὶ μάλ' ἀδάπανος καὶ μάλ' ἐκφέρουσα καὶ προτιθεῖσα πᾶσι τοὺς θησαυρούς[274]· καὶ ὅλως ἀκένωτός ἐστιν εἰς τοῦτο χάρις αὕτη παντὶ τῷ βίῳ καὶ φιλανθρωπία τὸν ἅπαντα χρόνον βρύουσα κατὰ φύσιν καὶ ὡς ἔνι μάλιστα

[272] ἑτοίμην V^{pc} : ἕτοιμόν V^{ac}
[273] ταμειεύουσα V
[274] ras. post θησαυροὺς V

καλλίστη καὶ εἰλικρινὴς[275] καὶ ἀμείωτος τὸν ἅπαντα χρόνον· καὶ γὰρ δὴ καὶ οὐσίωται τοῦθ', ὡς ἔφην, καὶ συγκεκλήρωται τὸ ἐξαρχῆς τῇ κατὰ Χριστὸν πίστει. Καὶ ὅρα γὰρ ὅτι διδάσκαλος μὲν καὶ ἀρχηγὸς αὐτῇ τῶν προτέρων δογμάτων τῆς τοῦ Χριστοῦ πίστεως ὁ πρῶτος τοῦ Χριστοῦ μαθητῶν τε καὶ ἀποστόλων ἀκροατὴς τοῦ Χριστοῦ καὶ πρῶτος κληθεὶς ἐπόπτης τε καὶ ἐπιγνώμων τῆς αὐτοῦ θεότητος, Ἀνδρέας ἐκεῖνος, οὗ τὰ μέγιστα θαύματα καὶ διδάγματα καὶ αἱ πολλαὶ καὶ πολλαχοῦ τῆς οἰκουμένης περίοδοι τῆς πόλεως ἐντεῦθεν ἀρξάμεναι καὶ οὐ κατὰ τῆς ἑλληνικῆς μόνον εὐγενείας ἀλλ' ἄρα καὶ κατὰ <τῆς>[276] βαρβαρικῆς ἀλογίας τε καὶ θηριώδους ἐθίμου πρότερον ἀεὶ βιοτῆς πλείστων ἰταμωτάτων ἐθνῶν χορηγήσασαι τὰ χρήσιμα καὶ καταβαλοῦσαι τὰ θεῖα τῆς πίστεως τοῦ Χριστοῦ σπέρματα καὶ πολλὴν αὐτῷ πανσπερμίαν ἀνθρώπων εὐφορώτατα γεωργήσασαι.

86. Καὶ διδάσκαλος μὲν οὗτος ἐνταῦθα καὶ πρῶτος τῆς εὐσεβείας νομεύς, δημιουργὸς δὲ πάλιν καὶ γεννήτωρ τοῦ μεγάλου τῆς πόλεως τοῦδε σώματος καὶ ὀνόματος καὶ πράγματος ἐν τῷ βίῳ καὶ πρῶτος εὑρετής τε καὶ πολιστὴς καὶ οἰκονόμος καὶ χορηγὸς τῆς κατ' αὐτὴν μεγαλοδοξίας τε καὶ ἀξίας, ὁ πρῶτος ἐκ βασιλέων χριστιανὸς καὶ τῆς εὐσεβείας τρόφιμος καὶ ταύτῃ συναυξηθεὶς καὶ τὴν ὅλην βασιλείαν σπουδῇ πάσῃ καὶ ἐπιμελείᾳ γε πάσῃ καὶ παντὶ τρόπῳ φέρων αὐτὸς ἑκών γε εἶναι καθυποτάξας καὶ ὑποθέμενος τῷ Χριστῷ καὶ δουλώσας ἐν πράγμασι πᾶσι καὶ προγράμμασι πᾶσι καὶ λόγοις καὶ τὸ βασιλεύειν τῷ τοῦ Χριστοῦ κλήρῳ πάσῃ γνώμῃ καὶ μηχανῇ (f.288[r])καὶ χειρὶ μὲν οὖν παρασχὼν ἐπὶ τῆς πόλεως τῆσδε καὶ διὰ τῆσδε τῆς πόλεως ἐπὶ τῆς οἰκουμένης ἁπάσης καὶ τὴν μεγίστην καὶ πρώτην παῤῥησίαν καὶ τὸ κράτος

[275] καλλίστη καὶ εἰλικρινὴς V[pc] : κάλλιστα καὶ εἰλικρινῶς V[ac]
[276] τῆς addidi

παντὶ τῷ γιγνομένῳ πράξας εὖ μάλα μεγαλοψύχως καὶ ἀνδρικῶς τῷδε τῷ συστήματι· καὶ μὴν μόνος αὐτὸς ἅγιος ἐκρίθη τῶν πάντων βασιλέων καὶ τῆς μεγάλης καὶ ὄντως μεγίστης ἔλαχεν ἀξίας ταυτησί, οὗ πόλις ἥδ' ἐπώνυμος· καὶ μόνος εἷς οὐκ ἐκ βασιλέων μόνον - ἐνταῦθα προσθεῖναι λοιπὸν τοῦτ' ἐστὶν - ἀλλὰ καὶ πάντων αὐτῶν ἁγίων <ἐν>[277] ἀποστόλοις ἀριθμεῖται αὐτὸς οὗτοσὶ καὶ βασιλεὺς καὶ ἅγιος καὶ <ἐν>[278] τοῖς πρώτοις τοῖσδε καταλόγοις, μᾶλλον δ' ἐπιλέκτοις ὀλίγοις, τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἀνηρημένοις καί, ὡς ἂν οὕτωσί γ' ἐρεῖν, τοῖς ἐν τέλει τοῦ μεγάλου βασιλέως καὶ πάντων δεσπότου κατατάττεται Χριστοῦ· καὶ τὸ μέγα τοῦτ' εὐδαιμονεῖ μόνος καὶ κηρύττεται καὶ ὄνομα καὶ πρᾶγμα· καὶ τἆλλα πρὸς ταύτην δὴ τὴν ἀξίαν παραβάλλειν ὁμοῦ τὰ μέγιστα πάντα παντάπασι φαῦλα καὶ τοῦ μηδενὸς ἄξια· κἀκεῖθεν ἄρ' ἄτρεπτα τὰ Χριστοῦ τὸν ἅπαντα αἰῶνα κρατεῖ καὶ τιμᾶται τῇ βασιλικῇ ταύτῃ πόλει καὶ τὴν πόλιν τιμᾷ μάλιστ', ἐξ οὗ καὶ γέγονεν.

87. Οὔκουν γέ ἐστιν ὅτε καὶ θρησκείαν τιν' ἑτέραν ἀντὶ Χριστοῦ καὶ σέβας ἀλλότριον ἠλλάξατο οὐδ' ἄλλην ἀντίτεχνον ἠμείψατο πίστιν ὡς ἄρα καὶ ἄλλαι πλείους τῶν ἐν τῷ παντὶ τῷδε κόσμῳ μεγίστων τε καὶ ὠνομασμένων[279] γε μὴν ἐξαρχῆς ἐπὶ τῇ Χριστοῦ πίστει. Ἀλλ' ἵσταταί οἱ καὶ μένει βέβαια τὰ θεμέλια τῆς πρώτης αὐτῇ πήξεως μετὰ Χριστοῦ καὶ συστάσεως καὶ ἤδρασται καλῶς γε ἄσειστα καὶ ἀζήμια τὸν αἰῶνα πάντα, πάσης τῶν ἄλλων δυσσεβείας ἐπικρατούσης. Καὶ μόνος Ἰουλιανός, ἐπ' αὐτῆς ἐκεῖνος βασιλεὺς καὶ τῆς βασιλείας καὶ τῆς πίστεως ἁλιτήριος, τῆς τοῦ Χριστοῦ βασιλείας (f.288^{v})ἀποστάτης, αὐτίκα κακὸς κακῶς ἀπαλλάττει τάχισθ' ὑπὲρ ἅπαντας, ὡς εἰπεῖν, πρότερόν τε καὶ ὅσοι μετ' αὐτόν, ὠστρακισμένος ἐπιμήκιστον ἐν

---

[277] ἐν addidi
[278] ἐν addidi

Πέρσαις δοῦναι τὴν δίκην τῆς τόλμης καὶ τοῦ θράσους κατὰ τῆς πίστεως ἀξίαν καὶ τὴν ἀθλίαν καὶ ἄτιμον ἀποδοῦναι τελευτὴν τοῦ βίου, περιφανὴς τὴν ἀσέβειαν καὶ τὴν κακίαν μόνος ἐκ βασιλέων καὶ περιφανὴς μόνος ἐκ βασιλέων τὴν αἰσχίστην ταυτηνὶ καὶ ἀσχήμονα τῆς ζωῆς κατάλυσιν καὶ κάκιστα συμπεράνας τὸ δρᾶμα τῆς ἀσεβείας καὶ τὴν ἐπ᾽ ὀλίγου τοῦ χρόνου σκηνήν. Οὐ γὰρ ἠνέσχεθ᾽ ἡ πόλις ἐφ᾽ ἑαυτῆς χρόνιον τὸν αὐτῆς ἀλλότριον καὶ ἀνάξιον· καὶ ἔοικεν ἀτεχνῶς μέγιστον ὥσπερ καὶ τοῦτο θεοσεβείας αὐτῇ σύμβολον καὶ ὧν ἐρᾷ μάλιστα καὶ οἷς ἐρᾷ ξυνεῖναι καὶ τρίβειν ἐπιπλεῖστον καὶ ὧν εἶναί τε καὶ καλεῖσθαι καὶ ἀρχὴ καὶ πόλις ἀξιοῖ καὶ οἷς οὐ πέφυκε κοινωνεῖν τε καὶ ξυλλαγχάνειν οὐδ᾽ ἔστιν αὐτῇ κατὰ φύσιν πρὸς αὐτοὺς ἐπ᾽ ὀλίγον καὶ ὁ,τιοῦν συγγενές· ἡ κακίστη τυραννὶς αὕτη καὶ αὐτῆς καὶ τῆς κατ᾽ αὐτὴν εὐσεβείας ταχίστη λυομένη καὶ πρὶν ἢ καὶ σημῆναι σχεδὸν καὶ ὅ,τι ποῤῥωτάτω γε αὐτῆς καὶ κάκιστ᾽ ἀπαλλάττουσα καὶ πάντων αἴσχιστα. Οὕτω δὴ τά τε πρῶτα καὶ τὰ ᾽ξ αὐτῆς ἀμέλει πλεῖσθ᾽ ὅσα δὴ λοιπὸν ἔτη συνεχῆ ἡ πόλις ἀκμάζει καὶ σύνεστι καὶ συμπέφυκε τῇ πίστει Χριστοῦ.

88. Αἱ δ᾽ ἄρ᾽ ἐκεῖναι πλεῖσται περιφανεῖς ἄλλαι καὶ τὰ θεῖα καὶ τὰ ᾽νθρώπινα πράγματα ἠλλάξαντό γε μὴν αὗται τῆς τύχης οὐ μόνον τὸ κράτος ἀλλὰ καὶ τῆς ἀληθείας τοῦ Χριστοῦ καί τινι μεταξὺ συνεκληρώθησαν δαίμονι πονηρῷ, αἱ μὲν ὅσον καὶ τραπῆναί γε τὰ βελτίω χρόνοις ὕστερον αὖθις καὶ τέως ἀμείψασαι τὴν εὐπραγίαν τῆς πίστεως εἶτ᾽ ἐπανελθεῖν ὅμως μετὰ τὴν δυστυχίαν τῆς εὐσεβείας αὐτῇ, αἱ δὲ καὶ διόλου τοῖς κακίστοις νοσοῦσαι καὶ προσταλαιπωροῦσαι (f.289[r])καὶ κατακεχωσμέναι καὶ χρώμεναι κάκιστα σὺν αἰσχύνῃ μεγίστῃ καὶ ἀηδίᾳ καὶ ὕβρει μεγίστῃ· καὶ αὖθις αἱ μὲν καὶ πρότερον ἢ τὰ Χριστοῦ κατὰ γῆς ἀναλάμψαι κράτη τοῖς φαύλοις ἀνθοῦσαι καὶ πόῤῥω τοι

[279] καὶ ὠνομασμένων iter. V

τῶν χρόνων προανθήσασαι, οὐχ ὥσπερ ἡ πόλις τῇ κατὰ Χριστὸν εὐθὺς παῤῥησίᾳ συμπροελθοῦσα καὶ συνεκλάμψασα· αἱ δέ, κἂν μὴ πρότερον τοῦθ' ὅσον εἴρηται, μετὰ τὴν τέως εὐγένειαν τοῦ βίου κατὰ τὴν τοῦ Χριστοῦ πίστιν καὶ πρόοδον καὶ πολιτείας ἀκμὴν ἐν τοῖς ἀρίστοις, ἔπειτα πονηρᾷ χρησάμεναι ξυντυχίᾳ καὶ τροπῇ τῶν βελτίστων, οὐχ ὥσπερ ἡ πόλις διαπαντὸς θριαμβεύουσα μετὰ τῆς ἀληθοῦς θεοσεβείας τοῦ Χριστοῦ λαμπρὰ λαμπρῶς καὶ περιφανέστατα κατὰ παντὸς ἀεὶ τοῦ βίου καὶ κατὰ παντὸς ἀεὶ τοῦ χρόνου. Οὔκουν γε μετέλαβεν ὅλως βωμοὺς δαιμόνων ἀντὶ τῶν θυσιαστηρίων Χριστοῦ καὶ τῆς πανάγνου θυσίας καὶ τοῦ παντίμου καλλιερήματος, οὐδ' ἐναγεῖς τραπέζας καὶ θηριωδίαν εἰς αἱμάτων ἑτοιμότητα καὶ σφαγῶν καὶ κατὰ τῆς ζωῆς καὶ τῆς φύσεως καὶ τῶν τῆς φύσεως ἐπανάστασιν ἀνῄρηται καὶ μάχην ἀντὶ τῆς ἱερᾶς καὶ φιλανθρώπου τραπέζης καὶ τρυφῆς ἀῤῥήτου καὶ πολυεράστου τοῖς γε πεπειραμένοις κάλλιστ' ἐν συναισθήσει· οὐδὲ πῦρ ἀνήμερον ἔσβεσε τὴν πάνσεμνον αὐτῇ καὶ γαληνὴν δαδουχίαν καὶ λαμπρότητα, οὐδὲ νέα καὶ μυσαρὰ καὶ ἀλλόκοτα θρησκεύματα καὶ περιτομαὶ νέαι [πάλαι καλῶς][280] ἐπὶ καιρῶν καὶ κατηργημέναι πάλαι καλῶς κατέτεμον τὴν ἀσφαλῆ τε καὶ καθωπλισμένην καὶ κατάφρακτον πάντοθεν ἀπόρθητον αὐτῇ τῆς εὐσεβείας ἕξιν καὶ τῆς ἀσείστου καὶ ἀκλονήτου κατεκράτησαν αὐτῆς πίστεως, ἀλλ' ἀντέχει κάλλιστα γεννικῶς τὸν ἀεὶ χρόνον, ἀλλ' ἀντέχει μετὰ τῆς εὐσεβείας ζῶσα πρὸς πᾶσαν ἐπήρειαν.

89. Πέντε μέν γε καθ' ἁπάσης ἄρα τῆς οἰκουμένης πόλεις (f.289^{v})ἡγεμονικαὶ τῆς πάσης τοῦ Χριστοῦ συντάξεως καὶ τοῦ παγκοσμίου κράτους τἀρχαῖον τετάχαται, ἃς οἱ πάλαι πρότερον ἐνόμισαν ἐκεῖνοι παρὰ Χριστοῦ θεσμοθέται τοῦ κηρύγματος εὐθὺς ἀρχομένου καὶ προεστήσαντο, οἱ

[280] πάλαι καλῶς seclusi

μεγάλοι καὶ πάντ' ἄριστοι τῆς ὅλης αὐτοῦ θεοσεβείας καὶ τῆς ὅλης ἐκκλησιαστικῆς αὐτοῦ συμπήξεως δημιουργοί, μᾶλλον δ' ἀρχιτέκτονες ἐξαίρετοι τῶν ἁπάντων καὶ βουλευταὶ κορυφαῖοι τηνικαῦτα δὴ καὶ νομοθετήσαντες καθ' ἕκαστα τὴν εὐσέβειαν ἐπὶ τῆς γῆς καὶ τὰ ταύτης εἰς πάντας ἀνθρώπους πολιτεύματα· καὶ δοκοῦσί γε μὴν ἐκεῖνοι καὶ πάνυ τοι σοφῶς τουτὶ προνοῆσαί τε καὶ πορίσαι καὶ κατιδεῖν τὸ καθεστὼς πάντῃ καὶ βεβηκὸς καὶ τεταγμένον εἰς τὸ καθάπαξ ἀόριστον οὑτωσὶ τὴν τοῦ παντὸς συντάγματος ἀνάγοντες ἁρμονίαν καὶ καλλίστην καὶ μουσικὴν ἀλληλουχίαν καὶ διοικησάμενοι πάντα τρόπον τακτοῖς ὅροις τὴν νομὴν σὺν ἄρα παντὶ τῷ δυνατῷ τῆς ἀσφαλείας καί, ὥσπερ οὐκ ἀρκούσης τοσούτῳ σώματι μιᾶς τινος ῥίζης ἢ κορυφῆς, οἱ δὲ καὶ πλείους σὺν λόγῳ τῷ παντὶ ταύτας εὑράμενοι καὶ ἀποδόμενοι καὶ ταύτας γε μὴν εἰς ὀλίγον, καθ' ὅσον οἷόν τ' ἦν, ἀνατεμόντες τὸν ἀριθμὸν πάνθ', ὡς ἔφην, τρόπον τἀσφαλὲς προνοοῦντες καὶ τεταγμένον· καὶ ἦσάν γε λοιπὸν αὗται πόλεις ἐξ ἐκείνου ταξιαρχοῦσαι τὴν ἡγεμονίαν ἅπασαν τῆς πίστεως ἀνθρώποις ἅπασι καὶ ταῖς καταμέρος ἑκάσταις ἑκάστων ἐκκλησίαις καὶ δεσμός τις αὖθις εἷς οὗτος πάντοθεν ἄῤῥηκτός τε καὶ ἄσειστος ἐπίπαν καὶ ἀπόρθητος πάσης ἐπιθέσεως καὶ κακουργίας καὶ προσβολῆς καὶ κάλλισθ' οὕτω δὴ ταυτὶ νόμιμα καὶ θεσμὸς οὗτος τῆς ἀγωγῆς. Καὶ ἦσάν γε μὴν ἐκεῖναι λοιπὸν τὸν ἀεὶ πρότερον χρόνον, εἰ μὲν βούλεταί τις, μητροπόλεις τῆς ὅλης πίστεως καὶ βασιλείας τοῦ Χριστοῦ διανειμάμεναι τὴν διοίκησιν τακτοῖς ὅροις, ὡς ἔφην, καὶ μέτροις, αὕτη μὲν ἐκεῖνα μέρη τῆς (f.290^{r})ἐπιστασίας, αὕτη δ' ἐκεῖνα καὶ ἄλλ' ἄλλη, τὰ δὲ πάνθ' αἱ πᾶσαι κλείουσαι, καὶ οὐδὲν τῶν ὅρων ἑκάστων ἐκτὸς ἐλείφθη· εἰ δὲ βούλεταί τις, ἀκροπόλεις ὡσανεὶ τῆς πάσης εὐσεβείας τῶν ἀνθρώπων καὶ τῆς πάσης ἡγεμονίας τὰ ξυλλαχόντα μέρη κατακοσμοῦσαί τε καὶ κατασφαλιζόμεναι πρὸς τὸ καλοῦν ἑκάστοτε τοῦ

καιροῦ καὶ τὴν χρείαν ἢ πρυτανεῖα τῆς πίστεως, τῆς νομῆς καὶ τῆς χορηγίας καταλογιζομένης ἐντεῦθεν, ὡς κατὰ φύσιν ἑκάστοις ἦν διαφέρον τοῖς ὑπὸ χεῖρα· ἢ τῶν θησαυρῶν ταμεῖα καὶ τῶν δογμάτων τῆς ἀληθείας φυλακὴ καὶ χειμώνων πρόβολοι πάντων, μᾶλλον δὲ πλοῦ παντός, τοῖς κατ᾽ αὐτὰς σκάφεσιν ἐκ πρυμνῶν ἐντεῦθεν οἰάκων ἐπιστασία, ὡς ἄρα δέοι κατιθύνειν τὴν εὔπλοιαν καὶ ἅμα μὲν διοικεῖν οὖρον, ἅμα δ᾽ ἀντίπνοιαν καὶ ναυαγίαν ἔστιν οὗ καὶ ὅτε δή.

90. Αὗται μέν γε πόλεις, αἱ τὰς ἡγεμονίας καὶ τοὺς οἴακας ἀνηρημέναι, τῶν ἄλλων ἐπίλεκτοι καὶ πρωτεύουσαι πασῶν ἐπὶ καιρῶν δή τινων, ὥσπερ ἐπὶ ῥητοῖς εὐπλοήσασαι, μέσῳ λοιπὸν ἔπειτ᾽ αὐτῷ πλῷ κακῶς ἀπήλλαξαν καὶ κατεναυάγησαν οὐ τὴν τύχην μόνον καὶ τὸ τοσοῦτο κράτος ἀλλὰ καὶ τὴν πίστιν αὐτήν· καὶ κατέστρεψαν ἐλεεινῶς κομιδῇ καὶ ὡς ἂν δακρύων ἀξίως οὐ τὰ θεῖα μόνον ἀλλὰ καὶ τἀνθρώπινα πράγματα σχεδὸν αἱ πᾶσαι, αἱ μὲν καὶ μετὰ τὴν τυραννίδα καὶ τὸ κράτος τῆς ἀσεβείας τοσοῦτο μόνον διαρκοῦσαι, ὅσον[281] καὶ τὸ ζῆν αὐτό, δυστυχεῖν καὶ λειφθῆναι πράττειν ἀθλίως, καὶ τυραννεῖα τῆς ἀσεβείας ἀντὶ τῶν προτέρων κόσμων καὶ τῆς περιλάμπρου θεοσεβείας ἀλλάξασαι καὶ μυσαρῶν καὶ ἀλλοκότων δογμάτων τρόπαιον ἐφ᾽ ἑαυταῖς καὶ νίκης κατὰ τῆς εὐσεβείας πομπήν, αἱ δὲ καὶ παντάπασιν ἐκλιποῦσαι αὐταῖς ἡγεμονικαῖς ἀξίαις τῆς πίστεως, αὐταῖς κοσμικαῖς, αἷς ξυνέλαχον, λαμπρότησιν ἐρειπίοις μόνοις καὶ σαθροῖς ἐφο(f.290ᵛ)ρωμένοις λειψάνοις καὶ παλαιᾷ μνήμῃ καὶ βίβλοις τὴν παλαιὰν εὐετηρίαν τοὺς πολλοὺς πείθουσαι. Ἀλλ᾽ ἡ γε καθ᾽ ἡμᾶς αὕτη δὴ μεγαλόπολις - σὺν Θεῷ δ᾽ ὁ λόγος, καὶ φθόνος ἐῤῥέτω, πᾶς τῶν καλῶν ἀλιτήριος καὶ παλαμναῖος δαίμων - αὕτη γε μὴν ἐπαρκεῖ τὸν ἀεὶ χρόνον τῷ παντὶ βίῳ λαμπρὰ λαμπρῶς καὶ πρὸς πᾶσαν

ἐπήρειαν καὶ μηχανὴν καὶ κακόνοιαν καὶ κατεπιχείρησιν τοῦ κράτους αὐτῆς κατ᾽ ἀμφότερα καὶ ἀνθρώπινα καὶ θεῖα μάλιστα πράγματα κρατίστη καὶ πάντων ἀθῷός τε καὶ ἄνοσος ἀρκεῖ τε καὶ ἀνθεῖ καὶ ἀκμάζει καὶ τῆς οἰκουμένης νῦν μόνη τῆς εὐσεβείας αὐτὴ μητρόπολις λείπεται. Καὶ πάντες εἴκουσιν εὖ μάλ᾽ ἑκόντες καὶ προσέχουσιν ὅσοις τοι. Καὶ νοῦς ὑγιὴς καὶ πηγὴ μόνη πᾶσιν αὕτη λοιπὸν ῥέει καὶ ῥίζα μόνη πᾶσιν αὕτη τροφὴν καὶ μονὴν θεοσεβείας καί, καθόλου γ᾽ ἐρεῖν, ζωὴν διαδίδωσι· χωρὶς τοῦ καὶ τὰ παλαιὰ καὶ πρῶτ᾽ ἐκεῖνα καὶ τὴν τέως ἄνοσον τότε τῆς χριστιανικῆς ἀγωγῆς εὐεξίαν προτέραν αὐτὴν μάλιστ᾽ ἔχειν τὰ πρωτεῖ᾽ ἐξ ἀρχῆς καὶ τῶν ἄλλων ὀφθαλμὸν εἶναι καὶ καλλιστεῖον ἀπὸ πάντων ἐξαίρετον καὶ τῷ παντὶ διαλάμπον καὶ προέχον ἀναμφηρίστως συστήματι οὕτω δὴ τά τε παλαιὰ πρότερον ἐκεῖνα τῆς εὐσεβείας τῇ πόλει, οὕτω δὴ καὶ τὰ νέα ἔτι.

91. Ἀλλὰ μὴν ἑπτὰ μὲν γενικαὶ καὶ μεγάλαι συντάξεις καὶ ὁπλισμοὶ καὶ συνασπισμοὶ τῆς πίστεως καὶ παρατάξεις, ὡς εἰπεῖν, μυριάριθμοι τῆς οἰκουμένης ἀπὸ πάσης συνῆλθον ἐν ἄλλοτ᾽ ἄλλοις τοῖς καιροῖς κατὰ τῶν ἀποστατῶν τῆς κοινῆς ἡμῶν ἐκκλησίας καὶ θεοσεβείας τοῦ Χριστοῦ· καὶ προὔστησαν ταύτης εὖ μάλα στερρῶς καὶ τὸν κοινὸν αὐτῆς θεσμὸν περιεποιήσαντο καὶ ἥμυναν ἀπόρθητον παντάπασι καὶ ἄνοσον τηρήσαντες καὶ κατεκρατύναντο καὶ τἀντίπαλον ἅπαν καὶ δυσνοϊκὸν κακοὺς κακῶς εἰργάσαντο προώλεις τε (f.291[r])καὶ πανώλεις ἐκ μέσου ποιησάμενοι καὶ ῥᾷστα δὴ καθάπαξ συγκαταφθείραντες τοὺς ἀλάστορας τῆς πίστεως καὶ ἀλιτηρίους ἐκείνους καὶ τοῦ Θεοῦ πλὴν ἢ ὅσοις τοι καὶ περιεποιήσαντο νοῦν σωφρονικόν τε καὶ μεταμέλειαν καὶ μετάνοιαν ἔπειθ᾽ ὕστερον τῶν βελτίστων ἐπιμηθείᾳ τυχοῦσιν ὧν ἐχρῆν καὶ προϊδέσθαι καὶ καθάπαξ ἀτρέπτως ἔχεσθαι, κἄθ᾽ οὕτω

[281] ὅσῳ V

λοιπὸν περιεποιήσαντο σφᾶς ταπεινοὺς εὐγνώμονάς τε καὶ τῶν συνοισόντων ἐπιγνώμονας προσχωρήσαντας κάλλισθ' ὑπὸ χεῖρας τῷ κοινῷ τῆς ἐκκλησίας ἀριθμήσαντες καὶ συντάξαντες τοῖς αὐτῆς πληρώμασιν ἀνόσους τοῦ λοιποῦ καὶ ἴσους καὶ συμφυεῖς. Τούτων μέν γε τῶν εἰρημένων ἑπτὰ παρατάξεων καὶ καθόλου γεννικῶν συνόδων καὶ τῆς κοινῆς πανστρατιᾶς τῆς πίστεως ἄλλοτε μὲν ἄλλαι πόλεις ἔνιαι τῶν μεγίστων καταμέρος διενείμαντο τοὺς κατὰ τῶν ἐχθρῶν ἀγῶνας ὡσπερεὶ στρατόπεδα τῆς ἐνστάσεως καὶ τῶν λογισμῶν τῶνδ' ἀξιόλογά τε καὶ διαρκῆ καταστᾶσαι καὶ τοῦ πολέμου τοῦδ' ἐπικαίρως ἀξιόμαχα καὶ τοῦ σκοποῦ· καὶ τὴν ὅλην τῆς μάχης ἀκμὴν καὶ τῶν τροπαίων αὖται τὴν λαμπρότητ' ἔπειθ' ὕστερον ἐδέξαντο κατ' ἐπιλογὴν πολλῶν ἀπὸ πασῶν τἀξίωμα τοῦτο κάλλιστ' ἀνῃρημέναι.

92. Ἡ δ' ἄρα μεγαλόπολις αὕτη καὶ μεγαλουργὸς ἀεὶ καὶ πολυαρκεστάτη καὶ διὰ πάντων γε δὴ τῶν μεγίστων καὶ διὰ πάντων γε τῶν καλλίστων πρέπουσ' ἐπιτυχής, ὥσπερ ἐν ἅπασι τοῖς ἄλλοις, πλεονεκτεῖ καὶ περιουσιάζει καὶ τὰ πλεῖστα καὶ τὰ κράτιστα μόνη φέρεται πασῶν· κἀνταῦθα δείκνυσι τὴν φύσιν καὶ τὸ μέγεθος καὶ τὴν ἀξίαν καὶ τὸ παρὰ πάντων ξυγκεχωρηκὸς καὶ τὸ διαρκὲς ὑπερφυὲς οἷον ἢ κατὰ τὰς ἄλλας ἐν πᾶσι πράγμασι, καὶ τὰς τρεῖς τῶν ἑπτὰ μόνη δῆτ' αὐτὴ κληροῦται πάντα δὴ καὶ διὰ πάντων, ὡς ἔοικε, τῆς δεσποτικῆς καὶ θεϊκῆς τριάδος χωρίον ἐξαίρετον ἀποδεδειγμένη (f.291^{v})καὶ κτῆμα τιμώμενον πᾶσι τρόποις καὶ τιμᾶσθαι σπουδάζον ὑπ' αὐτῆς ἀμέλει τῆς δεσποτικῆς φιλανθρωπίας. Οὔκουν γε ἄλλη τις καὶ ἡτισοῦν παρ' ἐκείνοις ἀμέλει τοῖς χρόνοις ταῖς μεγίσταις ταύταις ἀρχαιρεσίαις καὶ νομαῖς τοσούτων λαγχάνει τῶν ψήφων οὐδὲ τῶν ἴσων ἀξιοῦται. Ἀλλ' αὕτη δὴ μόνη τῶν εἰρημένων τοσούτων τὰς τρεῖς ἀπολαβοῦσα, τοῦ παντὸς ἀριθμοῦ σχεδὸν ἥμισυ παραβραχύ, τὰς λοιπὰς ἔπειτ' ἀπολείπει καὶ

ξυγχωρεῖ ταῖς ἀπὸ πάσης τῆς οἰκουμένης συμψήφοις καὶ συνεπιλέκτοις, πάντως καλλίσταις τε καὶ τοῦ τοσούτου πράγματος ἱκαναῖς· καὶ μὴν ἔξεστί γε ἐρεῖν ἐνταῦθα μετ᾽ ἀληθείας ἁπάσης καὶ προσθεῖναι ὡς ἄρα καὶ ταύτης[282] τῆς πόλεως ἐντεῦθεν καὶ τοῦ κατ᾽ αὐτὴν κράτους καὶ τῆς ἐξουσίας ἐν πᾶσι πράγμασι θείοις τε καὶ ὅσ᾽ ἀνθρώπινα τῆς ἐπιλογῆς ταύτης καὶ δοκιμασίας ἡ προηγορία, μᾶλλον μὲν οὖν καὶ τὸ[283] κῦρος αὐτὸ καὶ τὸ πᾶν τῆς αἱρέσεως δόγμα, τῆς ἀξίας ταύτης καὶ τῆς ἐπιτιμίας τυχεῖν πρὸ τῶν ἄλλων καὶ δέξασθαι τὰς περιφανεῖς ἐκείνας συνελεύσεις τῶν λογάδων ἐκείνων ἀνδρῶν ἀπὸ πάσης τῆς γῆς καὶ συναυλίας ὑπὲρ τοῦ καλοῦ καὶ τῶν ὀρθῶν νομίμων τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ πίστεως καὶ ὥστε καταβαλεῖν τἀλλότριον ἅπαν αὐτὰς καὶ νόθον καὶ κακουργικὸν καὶ ἐπίβουλον καθάπερ ἀντὶ τροπαίου τῆς νίκης καὶ τῶν ὀρθῶν δογμάτων, ἔοικεν, ἐπὶ πάσης ἀνακηρυττομένας τῆς οἰκουμένης καὶ σφόδρ᾽ ἐπιφανῶς, ὡς εἰπεῖν, δεικνυμένας ἢ προδεικνύσας αὐτάς, ὥσπερ τινὰς ἐπιφανεῖς καὶ ἀπόπτους καὶ περιόπτους στήλας κατὰ πάσης τῆς γῆς καὶ κατὰ τοῦ χρόνου παντός, ἀνάγραπτα πᾶσι τὰ συνθήματα τῆς εὐσεβείας, καὶ οἷς δέοι ἂν ἕπεσθαι καὶ προσέχειν ἅπαντας καὶ χρῆσθαι τοὺς τῆς χριστιανικῆς γνώμης καὶ πίστεως τροφίμους προγράμμασιν εὐνομίας παντελείοις τοῦ καλοῦ.

93. Καὶ μὴν ἔτι γε (f.292^{r})προσθεῖναι τούτοις ἔξεστιν ὡς καὶ ταύτας ἄρα τὰς πόλεις εἰς τὴν λειτουργίαν ταύτην αὐτὸ μάλιστα τὸ τῆς πόλεως ταύτης ἐξῄρηται κράτος καὶ ἡ νομίζουσα τὰ πάντ᾽ ἐξουσία προϊδομένη σαφῶς καὶ προνοήσασα τῶν ἄλλων κατὰ τὴν ἅπασαν οἰκουμένην τὰς ἔγγιστ᾽ αὐτῆς, ὡς οἷόν τ᾽ ἦν, ὡς ἂν δὴ καὶ ταύταις ἐμπνέοι λοιπὸν ἐξ ὑπογυίου τελεσφόρον τε τῶν βελτίστων καὶ συνεκτικὸν κράτος καὶ χεῖρα διδοίη προχειροτάτην, ὡς εἰπεῖν,

[282] ταύταις V
[283] τὸ V^{sl}

καὶ ταχίστην καὶ χειραγωγοίη[284] μέν, ἐνισχύοι δὲ πρὸς τὴν εὕρεσιν καὶ κατάστασιν ἄσειστον τῆς ἀληθείας τῶν δογμάτων τῆς πίστεως. Τοιγαροῦν αὕτη τῶν χρησίμων ἁπάντων τῆς τ᾽ Ἐκκλησίας καθόλου καὶ τῆς εὐσεβείας τὰς ἀφορμὰς φέρει, νῦν τε δὴ καὶ ἀεὶ πάλαι πρότερον ταύτης τὰ πάντ᾽ ἤρτηται καὶ ταύτης ἔστι τε καὶ εἶναί γε σαφῶς πᾶσι δοκεῖ καὶ σύνοδοί γε δοκοῦσιν ἐκεῖναι καὶ τὰ μεγάλ᾽ αὐτῶν ἔργα καὶ δόγματα καὶ ψηφίσματα καὶ συνόδων οἱ πρῶτοι συντελεῖς καὶ τὰ τέλη γ᾽, ὡς ἐρεῖν, καὶ τὰ κράτιστα τοῦ συστήματος· καὶ πάντων αὕτη χορηγός ἐστι καὶ αὕτη γ᾽ ἐπιστάτις καὶ ταμίας διαρκὴς ἐπὶ τῆς ἑκάστοτε χρείας καλούσης καὶ βραβευτὴς πᾶσιν αὕτη τὰς σιτομετρίας καὶ τὰ τρόφιμα τῆς πίστεως εἰς ἑτοίμην αὐτόθεν καὶ ἄφθονον μετουσίαν τε καὶ χρῆσιν· καὶ τὴν φιλοπονίαν τῶν καλλίστων αὕτη τῆς θεοσεβείας ἀνῄρηται καὶ τὴν ἐπιμέλειαν καὶ τὴν αὐτουργίαν τελεσιουργὸν ἑκάστων καὶ ἀρτιόχρειον καὶ καθόλου τὴν ὅλην τῆς φορᾶς διοίκησιν, ὡς ἂν καὶ κορυφαῖος αὕτη τῆς τῶν ὅλων μουσικῆς ἁρμονίας καὶ συμφωνίας τὰς ἀρχὰς τοῦ μέλους ἀνακρουόμενος καὶ θεσπιωδῶν ἄνωθεν ἐξ ὑπερτέρων καὶ προκηρύττων καὶ συμπεραίνων ἔπειτ᾽ αὖθις αὐτός· καὶ πάντ᾽ ἐστὶ πράγματα κάλλιστα καὶ κάλλιστ᾽ ὀνόματα πάντα καὶ καλλίστων ἁπάντων φερώνυμός ἐστιν αὕτη· καὶ ὅσοι τῶν αὐτῆς οἰάκων (f.292^{v})ἐπιστάται καὶ ταύτης ἐξαρχῆς ἐπώνυμοι τὴν ἡγεμονίαν καὶ τὴν ἐπιστασίαν, τὰ θεῖα νῦν ἔγωγε λέγω, καὶ τὴν χριστιανικὴν ἀγωγὴν τῆς εὐσεβείας καὶ τῆς Ἐκκλησίας.

94. Τί τις ἂν ἐρεῖ, πῶς ἂν ἀξίως τῆς τῶν ἀνδρῶν εὐγενείας; Ποῦ δῆτ᾽ ἄλλη πλείους ἄλλοι; Ποῦ δὴ τοσοῦτοι καὶ τοιοῦτοι, ποῦ; Καὶ ποῦ παραπλησίως πάντ᾽ ἄριστοι; Ἐκείνων αἱ μεγάλαι σοφίαι καὶ τὰ θεῖα καὶ τὰ ᾽νθρώπινα, ἐκείνων οἱ θαυμαστοὶ λόγοι καὶ τῶν δογμάτων ἡ τελειότης καὶ τῶν διδαγμάτων

[284] χειραγωγοίη V^{pc} : χειραγωγοῖ V^{ac}

οἱ ποταμοὶ τοσοῦτοι πολύκρουνοι καὶ ἀέννaοι τῷ χρόνῳ παντὶ καὶ πᾶσι κατὰ τὴν ὅλην οἰκουμένην ἀρδεύοντες ἀεί. Ἐκείνων οἱ περιφανεῖς βίοι καὶ ἡ πᾶσα ζωή, θαῦμα τοῖς ὁρῶσι, καὶ τῶν λόγων καὶ τῆς ἀκραιφνοῦς καὶ τελείας καὶ τελειοποιοῦ διδασκαλίας ἐκ τῶν ἔργων κατ᾽ αὐτοὺς καὶ τῆς βιοτῆς αἱ πίστεις· ἐκείνων τὰ μεγάλα καὶ περίδοξα κλέα καὶ τὰ κάλλιστα κατὰ πάντων ἀνθρώπων ὀνόματα, οἱ Θεολόγοι, φημί, καὶ Χρυσορρήμονες καὶ ἀμφοῖν ἄρα τῶν κλήσεων τὰς ἐργασίας τε καὶ τὰς πράξεις ἑκάτεροι φερώνυμοι δεικνύντες καὶ ἀμφοῖν ἄρ᾽ ἄξιοι τῶν κλήσεων ἐπώνυμοι δικαίως ἂν ἑκάτεροι· καὶ φθόνος οὐδεὶς ἐν σφίσι τοῖς παραπλησίοις τὴν σπουδὴν τῆς αὐτῆς ἀξίας καὶ τῆς αὐτῆς ἐπικλήσεως. Ἐκείνους καὶ ζῶντας ἐτίμα καὶ προΐσταθ᾽ ἑαυτῆς ἡ πόλις καὶ τελευτῶντας ὡσαύτως· καὶ τοὺς νεκροὺς τῶν σωμάτων ἐγκόλπιον κόσμον φέρει καὶ θησαυροὺς τοὺς τάφους καὶ κειμηλίων ἐντὸς δοχεῖα καὶ χρῆμα μέγιστον καὶ κάλλιστον οἷον.

95. Οὐ μόνον δὲ τὴν γνησίαν ἄρα ταυτηνὶ φορὰν καὶ τοὺς ἐξ αὐτῆς οἴκοθεν οἴκαδε θησαυρίζει τηροῦσα ἀλλὰ καὶ πάντοθεν ἄλλοθεν ἐπιδήμους τοὺς τῶν ἄλλων εἰς μέγιστον ὄντως κόσμον καὶ πλοῦτον ἐκ παντὸς ἐπίσπαστον τρόπου καί, ὥσπερ ἐν τοῖς ἄλλοις πλεονεκτεῖ πᾶσιν, οὕτω δὴ (f.293^{r})κἀν τούτοις καὶ τῇ περὶ ταῦτα θεοσεβείᾳ τε καὶ φιλοκαλίᾳ· καὶ πᾶσιν ἀνίστησιν ἐφ᾽ ἑαυτῆς νεὼς θαυμαστούς τε καὶ μεγίστους καὶ καλλίστους, τοὺς μὲν καὶ ἰδίᾳ τισί, τοὺς δὲ καὶ κοινῇ τισιν ἢ πλείοσι, καὶ πᾶσιν ἀνίστησιν ἀγάλματα καὶ γραφικῆς ἔργα· καὶ τὰ ᾽ναθήματα πλεῖστα ξὺν ὥρᾳ μάλιστα καὶ κόσμοις ἅπασι καὶ κάλλεσι καὶ χρυσοῦ καὶ λίθων ἐνταῦθα χρῆσις ὄντως τιμία καὶ κειμηλίων λαμπρότητες καὶ πρόσεστιν ἡ τέχνη καὶ ἡ τῆς ἐργασίας ἑκάστης ἀρετή· καὶ πᾶσιν ἀνοίγει θέατρα παρὰ πάσης τῆς οἰκουμένης καὶ τελετὰς καὶ μυστήρια καὶ πανηγύρεις καὶ θεωροὺς ἑκάστων καὶ ἱεροπομπίας ἕλκεται πανσέμνους,

οἴκοθέν τε καὶ πάντοθεν ἕλκεται· καὶ βρύει μὲν πάντων ἀγαθῶν καὶ ζωῆς ἀνθρώποις αἰτίων, βρύει δὲ νεκρῶν τῶνδε ζωηφόρων αὐτῇ τε καὶ πᾶσιν ἄλλοις, ὅσοις συναίσθησις· καὶ πηγάζει θαύματα τοῖς τε οἴκοι καὶ πέμπουσ' ἄλλοις ἐπὶ πάσης τῆς οἰκουμένης, ὅσους ἡ κατεπείγουσα χρεί' ἑκάστους δι' εὐχῆς ἐν τῷ παραχρῆμα τῆς ἐμπεσούσης αὐτοῖς[285] ἐπηρείας ἐνταῦθα φέρει καὶ ἡ ῥᾴστη μετουσία τῆδε τῆς φιλανθρωπίας καὶ καθάπαξ ἑτοίμη κατὰ πάντων λοιπὸν πομπεύουσα καὶ κροτοῦσα. Οὔκουν γ' ἐστὶν οὐδεὶς οὕτω δυστυχής, ὅστις ἀνήκοος τοσούτου πράγματος καὶ ἀμαθής, οὔτ' ἀδύνατος ἐς τοσοῦτο καὶ ἀνίκανος πειρᾶσθαι ὡς ἂν μὴ δι' εὐχῆς καὶ νοῦ προσδραμεῖν, καὶ τὰ μὲν εὐκταίοις τισὶν ἀναθήμασι, τὰ δὲ καὶ προσλιπαρήσει λογισμῶν μόνον τυχεῖν ὧν σπουδάζει καὶ τῆς ἐλπίδος αὐτῆς αὐτίκα[286] καὶ ἀπαλλάξασθαι[287] κάλλιστα τοῦ πάθους ἐν ἀκμῇ καὶ τἀλέξημα τῆς ἀπάσης συμφορᾶς τάχιστ' ἐπιγνῶναι καὶ τὸ καίριον τῆς ἐπικλήσεως καὶ τὴν ἐπιτυχίαν, πῶς ἂν εἴπῃς, καὶ τὰς ἀγαθὰς ἐλπίδας φθάνουσαν.

96. Καὶ πάντων ἀγαθῶν ἡ πόλις ἄβυσσος καὶ πάντων φιλανθρώπων πηγὴ καὶ πάντων οἰκονόμος τῶν χρησίμων τῶν εἰς τὸν κοινὸν τῶν ἀνθρώπων βίον· καὶ οὐχ ὁ,τιοῦν (f.293^{v})ἔπειτ' ἐλλείπει, οὔτ' οὐδὲν τῶν βελτίστων ἄπεστιν ἐνταῦθα[288] καὶ τῆς πόλεως ἀφῄρηται ἄνωθεν εὐθὺς ἐξαρχῆς ἐφορῶντι, φημί, πάνθ' ἑξῆς καὶ ὅσα παλαιὰ καὶ πρῶτα καὶ ὅσα νέα καὶ προσθῆκαι δεύτεραι τύχης εὐνοίᾳ καὶ χρόνου σοφίσματα συνεχῆ· καὶ τοσαῦτ' ἄρα δὴ καὶ τοιαῦτα καὶ πάνθ' ὁμοῦ μάλιστα οὔτε πώποτε καὶ νῦν ἡ φύσις ἔδειξεν οὔτε μήποτε δείξει[289], οἷον δὴ λέγω θέσεως εὐκαιρίαν καὶ τόπου κατ' οὐρανοῦ τε καὶ γῆς

---

[285] αὐτοῖς V^{pc} : αὐτῆς V^{ac}
[286] verba καὶ τῆς ἐλπίδος αὐτῆς αὐτίκα post ἀκμῇ scripta huc transposui
[287] ἀπαλλάξαι V
[288] ἐνταῦθα V^{sl}
[289] δείξῃ V

ἅμια καὶ θαλάττης ἅμια, οἵαν ὑπὲρ ἄλλας ἁπανταχοῦ πάσας καὶ ὑπὲρ ἁπάσας τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος παντέλειον τῶν καλῶν καὶ διαρκεστάτην ἐπιτυχῇ κατὰ φύσιν καὶ πρώτην καὶ μόνην εὑρημένην αὐτήν· καὶ δευτέραν ἄλλην οἵαν δὴ παραπλησίαν οὔκουν γε δίδωσιν ἡ φύσις πρός τε ὥραν ὑπερβαλλόντως καὶ χρείαν ἅπασαν καὶ πρόνοιαν τοῦ συνοίσοντος, ὅση τε πρὸς τὴν ἀρχὴν αὐτὴν τὴν μεγίστην, ἧς ἡ πόλις σκοπός, καὶ τὸ κοινόν, ὡς εἰπεῖν, τῶν ἀνθρώπων καὶ ὅση πρὸς τὴν εὐμάρειαν τῆς ἀνθρωπίνης ζωῆς καὶ πολιτείας καὶ ἀγωγῆς τῶν αὐτῆς ἐποίκων· καὶ τὸ καθεστὼς τοῦ βίου πάντοθεν εὐδιοίκητον τῇ φύσει· καὶ ἀέρων ἐνταῦθα φιλανθρωπία καὶ ὡρῶν ξυμβάσεις καὶ χορεῖαι καθάπαξ ἄλυποι καὶ μουσικαὶ καὶ πολὺ τὸ ἐναρμόνιον καὶ περίοδοι κάλλιστα μετ' εἰρήνης ἁπάσης ἁπαντῶσαι καὶ[290] τῆς χώρας ἀζήμιοι καὶ τῶν οἰκούντων καὶ μάχης ἀπηλλαγμέναι πάσης ὡς ἄρα δὴ μὴ δ' ἀκολουθεῖν ἐντεῦθεν, πᾶσα ἀνάγκη, καθάπερ ἐπ' ἐνίων ὁρῶμεν τὴν ὑπ' αὐτὰς καταπολιορκεῖσθαι καὶ χώραν καὶ πόλιν ἔστιν ὅτε καὶ ἐφ' ὧν ἡμερῶν ἐν τῷ μέρει κατ' ἔτος καὶ κατὰ πᾶν ἔτος καὶ πρὸς πόλεμον τῆς φύσεως τεταγμένον ἄφυκτόν τε καὶ ἄλυτον τόνδ' ἐπὶ ῥητοῖς ὁπλίζεσθαι χρῆναι καί, καθ' ὅσον οἷόν τ' ἐστίν, ἁπαντᾶν πεφραγμένως καὶ διαφέρειν τὸν κίνδυνον καὶ τὴν ὡραίαν ἀπαραίτητον, ἵν' οὕτως εἴποιμι, συμφορὰν καὶ δυσπραγίαν ἀναγκαίαν.

97. Καὶ μὴν ἑξῆς λέγωμεν[291] γῆς εὐγένειαν καὶ (f.294[r])κράτος εἰσφορὰν πᾶσαν καὶ πλείστην ὅσην εὐτονίαν καὶ ἀκμὴν εἰς εὐτοκίαν πᾶσαν καὶ θάλατταν τῇδε φιλανθρωποτάτην τήνδε ἢ κατὰ πάνθ', ὡς ἀληθῶς, αὐτῆς μέρη· καὶ ἄφθονα τὰ 'ξ αὐτῆς ἀγαθὰ τοσαῦτα καὶ ἄπονα μὲν οὖν παντάπασιν, ὡς εἰπεῖν, ἑκόντων τε καὶ ἀκόντων τῶν δεχομένων ἀπραγματεύτως τε καὶ

---

[290] καὶ V[sl]
[291] λέγομεν V

ἀποιήτως τέχνης ἁπάσης ῥᾷστα πορίζειν καὶ πλουτεῖν τροφὴν αὐτόματον μὲν ὅμως ἀλλ'[292] ἄτρεπτόν τε καὶ ἄπαυστον ἥκουσαν καὶ ἀνυπονόητον μὲν οἵαν ἀλλὰ καὶ τεταγμένην ἄλυτον ἐπιλογὴν καὶ πρόσοδον χρήσεως καθάπαξ καὶ καρποὺς αἰφνιδίους θαλαττίους ῥέοντας ἀλλ' ἐπὶ καιροῦ βρύοντας, ὥσπερ ἐν ἔαρος ἔχει τὰ ἄνθη, καὶ τεράστιον ἔθιμον φορᾶς καὶ γονὴν ἀθρόαν ἄπονον, ἀδύνατον δ' ἄλλως ἢ οὕτω παρελθεῖν, καὶ δασμοὺς ἐπετείους τῆς θαλάττης ἀπαραλογίστους τε καὶ ἀφύκτους τῇ πόλει καὶ νόμιμα συντελείας κατὰ παντὸς ἑστῶτ' ἀσάλευτα τοῦ χρόνου καὶ βοσκήμαθ' ὑπὸ χεῖρας θαλάττια κατ' ἀγέλας καὶ πομπὴν τῇ πόλει καὶ στόλον κατὰ καιρὸν ἐπιόντα καὶ κυβερνήτου δίχα ναυτιλλόμενον καὶ ἀγορὰν ὠνίων ἀτελῶν καὶ κομιδὴν παμπληθῆ θαλαττίαν[293] τῆς χρείας φορταγωγῶν ἄνευ καὶ θαύματ' αὐτῆς τῆς θαλάττης καὶ θαύματ' αὐτοῦ τοῦ βίου καὶ δρᾶμα κάλλιστον, οἷον ἐπαληθεῦον, ὅμως τοῖς ἔργοις ἀψευδέστατον, καὶ ἄττα μὴ παρ' ἄλλοις ὁρῶμεν ἁπανταχοῦ καὶ γῆς καὶ θαλάττης. Καὶ μὴν ἔτι πελάγη θαυμάσι' ἑκατέρωθεν καὶ τὰ πάντων ἄλλων ἀξιολογώτερα καὶ ὀνόματος μεγίστου καὶ φήμης περιφόβου καὶ μόνον ἀκούειν εὐστομοῦντα μάλιστα τῇ πόλει· καὶ σύνδεσμος αὐτοῖν ἐκ τῆς πόλεως καὶ γαλήνης ἐνταῦθα χώρα καὶ λιμὴν ὥσπερ καὶ κοινὰ καὶ διαλλαγαὶ καὶ κατ' αὐχένα τινὰ τόνδε τῆς πόλεως ταύτης περιπλοκαὶ καὶ φιλίαι πρὸς αὐτὴν καὶ πρὸς ἄλληλ' ὡς ὁρᾶν κάλλιστα, χωρὶς δὲ (f.294^{v})τούτων, πορισταὶ ἐντεῦθεν τῇ πόλει βίον τῶν βελτίστων ἁπάντων καὶ ὧν ἂν δέοι καὶ χεῖρας αὐτῆς εὐποιίας παντοίας πρὸς ἅπαντας ἀνθρώπους εὖ μάλ' ἱκνουμένας ἐντεῦθεν καὶ χεῖρας πάντων ἄλλων εὖ μάλ' αὐτῇ πάντοθεν καὶ χορηγίαν τῆς οἰκουμένης, ὡς ἔχουσι τοῖς δεσπόταις αἱ λειτουργίαι τῶν ὑπηκόων καὶ τῆς ἑκάστης χώρας αἱ πόλεων ταμειουχίαι τῆς ἀφ' ἑκάστης χώρας ἀμέλει φορᾶς· τὸ πλῆθος δὲ τῶν λιμένων

[292] ἀλλ' V^{sl}

πάντοθεν τῆς χώρας καὶ τῶν τῆς πόλεως μερῶν, τὸ δ' ἄσειστον πάσης ἐπηρείας, τὸ διαρκὲς δὲ πρὸς τοσαύτην πάντοθεν ὑποδοχήν· οἱ ναυτικοὶ δὲ καὶ θαλαττουργοὶ θεσμοὶ πάντες καὶ παλαιοὶ νόμιμοι καὶ νέ' εὑρήμαθ' ἑκάστοτε.

98. Καὶ τἆλλα παρεὶς ἔγωγε τῶν ἔξω, τίς τοσοῦτ' ἄρα, φημί, μέγεθος εἶδε πόλεως ἤ, πρὶν ἰδεῖν, ἐλογίσατ' ἰδεῖν ἢ νῦν ἢ πρότερον ὁτέ ποτ' ἄρα; Τίς τοσαύτης περιτειχισμὸν χώρας καὶ περίοδον οἰκοδομίας οὕτως ἀσφαλεστάτην ἐκ παντὸς τρόπου, οὕτω καλλίστην ὡσαύτως ἐκ παντὸς τρόπου; Τίς οὐ μόνον μῆκος πόλεως εὐσωματοῦν οὕτως ἀλλὰ καὶ πατρῷ' ἀγαθὰ πρός γ' ἔτι φθάνοντ' αὐτῇ καὶ κλῆρον δόξης τοσοῦτον ἥκοντα πατρόθεν τῆς τοῦ μεγάλου πολιστοῦ τύχης καὶ παντοίας ἀρετῆς καὶ ἀξιώσεως καὶ μεγάλην ταύτην τἀνδρὸς εἰς τὸν κοινὸν ἀνθρώπων βίον καὶ τὴν ἀρχὴν φορὰν εὖ μάλ' ἐπιτυχῆ τοῦ σκοποῦ καὶ τῶν μεγάλων λογισμῶν, ὡς ἔργοις ἔδειξεν ὕστερον; Τίς ὁμοῦ τοσαῦτ' ἐν ταὐτῷ κάλλη καὶ θαύματ' ἔσω συνιόντα καὶ φύσεως συντέλειαν τῆς ὕλης τοσαύτης πάντοθεν τῆς οἰκουμένης καὶ τέχνης ἅμιλλαν εἰς φιλοκαλίαν καὶ τοσαύτας κατασκευὰς οἰκοδομημάτων δημοσίων τε καὶ ὅσα καθ' ἑκάστους τῶν ἰδιωτῶν; Τίς ἀνυπονόητα τέως νεῶν μεγέθη καὶ κάλλη, πανταχῇ μὲν ἐκ φήμης περικροτοῦντ' ἀνθρώπους ἅπαντας καὶ θαύματ' ἀκούοντα τῶν κατὰ γῆν ἔργων, παντάπασι δ' ἀπιστούμενα, (f.295[r])πρὶν ὅμως ἐντυχεῖν; Τίς γραφάς; Τίς ἀγάλματα; Τίς ἀνδριάντας, τοσαῦτα μεγέθη καὶ τεχνικῆς σοφίας ἐν τούτοις ἐπίδειξιν; Τίς τέχνης εὕρεσιν τοσαύτην; Τίς ἀκρίβειαν καὶ πάνθ' ὁμοῦ ταῦτα κατὰ πάσης τῆς πόλεως σύμφωνα καὶ πολὺ τὸ κατὰ λόγον ἴσον καὶ πολλὴν ἐπανθοῦσαν τὴν ὥραν, καὶ οὐδὲν τῇδε μᾶλλον ἢ τῇδε, ὥσπερ ἐφ' ἑνὸς ὁτουοῦν εὐγενοῦς σώματος τὰ μέρη ξυμπέφυκεν εὖ πρὸς ἄλληλα καὶ τὸ πᾶν, καὶ δὴ κἀνταῦθ', ὡς ἀληθῶς, ἓν σῶμα τὴν ἅπασαν πόλιν οὖσαν χώραν ἀμέλει

[293] θαλαττίαν V^{pc} : θαλάττιον V^{ac}

τοσαύτην πάντοθεν συμφυές τε καὶ ὅμοιον ἐφορῶντι καὶ κατ᾽ οὐδὲν ἀλλοτριούμενα τὰ μέλη μήθ᾽ ἑαυτῶν ἀλλήλων μήτε τοῦ κοινοῦ κάλλους;

99. Καὶ ἔτι γε μὴν πρὸς τούτοις τὰς τῶν ξένων ἐπιδημίας ἐν τῇ πόλει καὶ συναυλίας τί τις ἂν ἐρεῖ καὶ τὸ κοινὸν τῆς οἰκουμένης, ὡς εἰπεῖν, ἐνταῦθα πολίτευμα καὶ τὴν καθόλου διοίκησιν τοῦ βίου καὶ τῶν ἐν βίῳ; Καὶ θησαυρὸν τῇδε πάντων ἀνθρώπων τῆς γῆς ἀπὸ πάντων ἄρα τῶν μερῶν καὶ πεῖραν ἀλλήλων καὶ χρῆσιν καὶ τῶν κατὰ πάντας ἐκμάθησιν ἐν ὀλίγῳ τοῦ παντὸς μέρει, ἐν ὀλίγῳ κομιδῇ καὶ τοῦ διδάσκοντος χρόνου μέρει, καὶ τὰ μεῖζω δὴ καὶ τελεώτερα καὶ θειότερα, τὴν συντέλειαν ἅπασαν ἐνθένδε τῆς εὐσεβείας καὶ τὴν οἰκονομίαν καὶ τὴν ἐργασίαν τῆς πίστεως πάνδημον περὶ πάντας ἔχουσαν ἀνθρώπους καὶ τὰς ἐξαρχῆς ἐπιστασίας ἐνθένδε τῶν τῆς εὐσεβείας δογμάτων ὡς μόνην οὖσαν τὴν πόλιν τὸ πρυτανεῖον τῆς ἀληθείας ἐπὶ πάσης τῆς γῆς καὶ τῆς Ἐκκλησίας κατ᾽ αὐτὴν ἁπάσης καὶ τὰς ἐνταῦθα χρηστὰς ἁπάντων ἀνθρώπων ἐλπίδας τοῦ Χριστοῦ καὶ τὸ χρήσιμον τῆς πίστεως ἐξὸν μάλιστ᾽ ἐντεῦθεν ἅπαν φέρειν καὶ τοιοῦτον λοιπὸν ἐκμανθάνειν καὶ μὴ[294] δραπετεύειν καὶ φυλάττεσθαι; Καὶ τὴν κατὰ τῶν ἐχθρῶν ἄμυναν καὶ τοὺς γεννικοὺς ὁπλισμοὺς καὶ τὰ παλαιὰ πρότερον ἐκεῖνα μέγιστα κλέα καὶ τὴν τέχνην (f.295^{v})καθεστῶσαν ἅπασαν τῆς εὐσεβείας καὶ τὰ νέ᾽ ὡσαύτως; Καὶ τὴν τύχην ἐν τούτοις[295] ἄτρεπτον τοῦ παντὸς χρόνου μόνης τῆς πόλεως καὶ τὰς ἐνταῦθα καλλίστας τε καὶ βεβαίας ἁπάντων ἐλπίδας ἐξ ἀρχῆς εἰς τήνδε μάλιστα τοῦ καιροῦ τὴν αὐχμηρίαν καὶ τὴν νῦν στένωσιν καὶ τὴν ἐπιλείπουσαν πίστιν, καὶ τὴν ἀρδείαν τῆς εὐσεβείας, ἣν μὴ μόνα τὰ τῇσδε τῆς πόλεως, καθόλου γ᾽ ἐρεῖν, ἐλείπετο, καὶ τὰ τῆς κατ᾽ αὐτὴν προστασίας πηγάζοντ᾽ ἄκλειστα πάντα τὸν

---

[294] verbum μὴ ante τοιοῦτον scriptum huc transposui
[295] ἐν τούτοις V^{mg}

αἰῶνα συνεχῆ καὶ πλείστοις, ἢ μᾶλλον πᾶσιν, ἀρκοῦντα καὶ τοῦ χρόνου τῆδε μόνον τὸ ξυγκεχωρηκὸς ἄτρεπτον καὶ ἀσάλευτον; Ἔνθα δὴ καὶ τῆς θεοσεβείας ἡ πᾶσα τιμὴ καὶ σπουδὴ παντοία καὶ περιουσία καὶ χύσις μετ᾽ ἀγλαΐας ἀμυθήτου καὶ ὥρας καὶ κάλλη νόμιμα πρότερον ἐξαρχῆς καὶ ἀεὶ καινίζοντα καὶ κόσμοι πάσης ἱεροτελεστίας καὶ θειασμοῦ τῶν τῆς ἐκκλησίας ὀργίων.

100. Καὶ τίς ἂν ταῦτα δὴ πάντ᾽ ἐρεῖ συνελὼν ὡς ἂν ἄρα καὶ παντὸς τοῦ προσήκοντος ἐπιτυχῶς ἀξιοῦν; Καὶ μὴν ταῖς μὲν τῶν πόλεων ἐν βίβλοις ἡ εὐδαιμονία καὶ τὰ παλαιὰ πρότερον ἄττα δὴ διὰ μνήμης φέρουσιν ἐν τῷ νῦν εἶναι κοσμεῖσθαι καὶ φεύγουσι τὰ παρόντα καὶ τὴν νῦν[296] ἐρημίαν ἐγκαλύπτονται, ταῖς δὲ παλαιᾶς μὲν εὐγενείας ὀρφανίᾳ καὶ χθὲς ἤρξαντο καὶ πρὸ τρίτης τῷ βίῳ δείκνυσθαι· αἷς δὲ καὶ ἀμφοτέρων μέτεστιν ὀλίγον τὸ χρῆμα παραβάλλειν ἐξεῖναι τῇ πόλει. Τῇ δὲ πάνθ᾽ ὁμοῦ τὰ κάλλιστα καὶ πάλαι καὶ νῦν εἶναι, καὶ οἷα μηδέσιν ἄλλοις οὐδέτερα καὶ οἷ᾽ ἀλλήλων ἄξια καὶ προσήκειν ἀλλήλοις καὶ ὧν ἔνια ταῖς μεγίσταις ἀρκεῖ καὶ προεχούσαις τῶν ἄλλων, ἱκανὴ φιλοτιμία καὶ μεγίστης ἀφορμὴ δόξης· καὶ τὰ κατ᾽ αὐτὴν μερισαμέναις πάνυ τοι πλείσταις πάνυ τοι πλείστους ἔχειν ἂν ἦν ἐπιδείξεως καὶ τρόπους καὶ πορισμούς. Καὶ τὰ μὲν παλαιὰ ταύτῃ τοῖς νέοις ἐφάμιλλα καὶ τοῖς παλαιοῖς ὡσαύτως τὰ (f.296[r])νέ᾽ ἐφάμιλλα καὶ οὐκ ἔστιν ἐρεῖν οὐδὲ διελέσθαι ποῖ τῶν κατ᾽ αὐτὴν ἡ πόλις ἑαυτῆς προέχει, πῇ δ᾽ ἥττηται· τῶν δ᾽ ἄλλων ἁπασῶν καὶ παλαιῶν καὶ νέων καὶ παλαιοῖς τοῖς αὐτῆς καὶ νέοις προέχει, καὶ οὐ λέγω τῇ κοινωνίᾳ γε ἀμφοῖν ὁμοῦ καὶ τῇ μεγίστῃ ταύτῃ περιουσίᾳ ἀλλὰ καὶ τούτοιν θατέρῳ γε τῷ[297] μέρει. Τὰ τῶν ἄλλων ὠντινωνοῦν παραπλήσια δοκοῦντα τῇ

---

[296] νῦν V[sl]
[297] ras. post τῷ

παλαιᾷ, φημί, μεγαλοδοξίᾳ καὶ τῷ μεγάλῳ πατρόθεν ἐκ μακροῦ κλήρῳ, τὰ[298] τῶν ἐπὶ τούτοις πάντων φρονούντων καὶ τὰς παλαιὰς καὶ ἤδη νεκρωθείσας εὐετηρίας προβαλλομένων εἰς μέσους, ὥστε καὶ παραβάλλειν καὶ τῇ νέᾳ διαπαντὸς φορᾷ καὶ περιφανείᾳ τοῦ ζῶντος βίου, τὰ τῶν ἀμέλει νῦν ἀκμαζόντων καὶ νεαρῶν τῆς τύχης καὶ λαμπρυνομένων, τὰ παρόντα μόνα καὶ φαινόμενα καί, ὡς ἔπος εἰπεῖν, τὰ πάντων κάλλιστα τοῖς κατ' αὐτὴν ἅπασιν ἀπαραμίλλοις παρέρχεται καὶ πολλῷ τινι λείπεται[299] δεύτερα βασιλικοῖς ὄντως ξυμμετρούμενα τοῖς πήχεσι· καὶ τὸ παραβάλλειν ὅλως ἴσως μὲν ἂν εἴη μαινομένου τινός, πειθοίμεθα δ' ἂν καὶ τοῖς ὅμως περὶ τούτων, οἶμαι, νόμοις οὐκ ἀπεικότως οὐδὲ τοῦτ' ἴσως.

101. Φέρε γάρ, ἐξεταστέον τὰς πρώτας, ὡς[300] εἰπεῖν, τῶν ἐκ τοῦ παντὸς αἰῶνος πόλεων προελομένους καὶ θεωρητέον ὅσα κατ' αὐτὰς πρὸς τὰ τῆσδ', ὡς οἷόν τε καὶ ξυγχωρεῖ νῦν ὁ καιρὸς καὶ τὸ μέτρον τῶν εἰρημένων. Καθόλου μὲν οὖν οὑτοσὶ κανὼν εἷς ἔστω σοι τῇ πόλει καὶ γνώμων κοινὸς τῆς κατὰ τῶν ἄλλων ἁπασῶν ἐπιδηλοτάτης ὑπεροχῆς, λέγω δ' ὧν ὁ πλεῖστος λόγος ἐστὶ καὶ τὰ μεγάλ' ὀνόματα καὶ τῆς τύχης ἐκεῖναι λαμπρότητες, περιφανεῖς μὲν πάλαι πρότερον πλὴν ἐσβεσμέναι πολλά γε λοιπὸν ἔτη, καὶ νεκρὰ καὶ παραῤῥεύσαντ' ὅμως διηγήματα, τῆς θέσεως ταύτη ἡ εὐκαιρία καὶ γῆς ἅμα καὶ θαλάττης κατ' οὐρανοῦ καὶ τὸ κατὰ φύσιν εὔχρηστον αὐτῇ τε (f.296^{v})καὶ πρὸς τὸ κοινὸν ἔπειτ' ἄρα τῶν ἀνθρώπων τοσοῦτο δὴ πρᾶγμα καὶ τῶν ἄλλων, πᾶς τις ἀληθῶς ἂν ἐρεῖ, τὸ καιριώτερον καὶ πρῶτον κατ' ἀνάγκην τε καὶ ἅμα χάριν θαυμαστὴν καὶ ἄῤῥητον οἵαν καὶ οὗ πάντα τις ἄλλα[301] νοῦν ἔχων καὶ καλῶς ἐπιστατῶν

---

[298] τὰ V^{sl}
[299] λείπει V
[300] ὡς V^{sl}
[301] ἄλλα V^{sl}

τοῖς οὖσιν, ἐμοὶ δοκεῖν, ἀλλάξαιτ' ἂν ἐφορώμενος ἀμέλει πρὸς τὸ γιγνόμενον τῆς τῶν πόλεων ἀρετῆς εὖ μάλα καὶ διαρκὲς καὶ τέλειον τῆς εὐεξίας. Πλὴν γὰρ αὐτῆς δὴ ταύτης τὸ τῆς οἰκουμένης ἀπὸ πάσης ἐπίλεκτον μόνον αὐτὸ μόνης εὑρούσης τε καὶ προελομένης ἑαυτῇ καὶ κατεχούσης τὸν ἀεὶ χρόνον μετὰ ῥᾳστώνης καὶ κατὰ φύσιν ἀλυπότατα, πᾶσαι λοιπόν, ὅπου ποτ' ἄρα, τῆς βελτίστης ἐξεκρούσθησαν μοίρας καὶ τὴν εὐδαιμονίαν κατὰ σφᾶς, ὅση συνέλαχον, ἐξετοπίσαντο δυστυχήσασαι μὴ κατὰ καιρὸν χρῆσθαι καί, καθάπερ ἐπὶ μεγάλου τινὸς καὶ καλλίστου τοῦδε θεάτρου τῆς γῆς ἁπάσης, ἁμαρτοῦσαι τῶν εὐγενῶν μάλιστα καὶ χρησίμων τόπων τῆς ἐποπτείας, ὥστε δὴ κάλλισθ' ὁρᾶν ἔχειν καὶ ὁρᾶσθαι· καὶ τὴν σκηνὴν καὶ ἴσως γε λαμπροτέραν καὶ τὴν κατάπαυσιν ὁπηοῦν οὐκ εὐφυῶς ἀνύσιμον πρὸς τὴν χρείαν πηξάμεναι, αἴδ' οὐκ ἀγαθῶς ἐπίπαν ἔπειτ' ἐχρήσαντο τοῖς παροῦσι καὶ φαύλως ἔπειτ' ἀπήλλαξαν ἀνόνητοι τῶν βελτίστων ἴσως καὶ ὧν ἄρ' ἦν ἡ πρόθεσις. Καί, ὥσπερ ἑνός τινος ἐν μέσῳ κατ' ἀνάγκην τοῦ σκοποῦ κειμένου πᾶσιν ἐφῷ κατευστοχῆσαι καὶ τυχεῖν ἀμέλει, φθάνει μὲν τοῦθ' ἡ πόλις ἥδε μόνη καὶ τῶν ξυμμέτρων οὐκ ἐκπίπτει καὶ τῆς αὐτοῦ λοιπὸν τύχης. Αἵ γε μὴν ἄλλαι πᾶσαι βάλλουσιν ἔξω τῶν εἰκότων τε καὶ τῶν μέτρων οὐκ εὐστοχήσασαι· καὶ μακαρισταί τινες οὖσαι καὶ θαυμασταὶ τὴν ἄλλην ἴσως ἕξιν θαυμάζονται πολλῷ δὴ μάλιστα τῆς ἀκαιρίας ταύτης καὶ δυστυχίας καὶ δυσχρηστίας, ὥσπερ ἂν εἴ τις οἰκία περιφανὴς τ' ἄλλα καὶ πολλῇ ξυλλαχοῦσ' ἁβρότητι καὶ κόσμοις (f.297[r])παντοίοις καὶ πλούτῳ τύχης ἔπειθ' ὁρῷτο χώρας ἀμοιροῦσα καὶ προνοίας εἰς τὴν ἀταλαίπωρον διοίκησιν τῆς εὐδαιμονίας, ἵν' οὕτως εἴποιμι, δυσάντητός τις καὶ δυσπρόσοδος τῶν χρησίμων καὶ τὴν εὐπραγίαν οὐκ εὔκρατον ἐντεῦθεν ἀμέλει διαφέρουσα. Καὶ μὴν ἔοικε λοιπόν, οὐδὲ διαρκῆ[302] τὰ

[302] διαρκεῖ V

τοιαῦτ᾽ ἐστὶν οὐδ᾽ ἄνοσα τῷ χρόνῳ, <οὐδὲ>[303] διαπαντὸς ἀντέχει, καὶ οἷς ἡ φύσις ἄρα τῆς εὐεξίας οὐκ ἴση πάντοθεν ἔρχεται, οὐδ᾽ ἅπαντα κατ᾽ αὐτὴν εὖ μάλ᾽ ἀλλήλοις ἀπαντᾷ καὶ κίρναται ξύμμετρα. Ἀλλ᾽ ἔστι μὲν ἃ μετὰ ῥᾳστώνης φέρει καὶ συμπληροῖ τὴν ὅλην αὐτῆς οὐσίαν, εἰπεῖν, καὶ κατάστασιν, ἔστι δ᾽ ἃ καματηράν τινα καὶ λίαν ἐργώδη καὶ πονηρὰν συνερανίζεται καὶ ἀποδίδωσι τῷ παντὶ συντέλειαν. Τοῖς γε δὴ τοιούτοις ἐπίνοσα κατὰ φύσιν ἐξανάγκης ὑπὸ τῆς τοιαύτης ἀνισότητος καὶ ἀνωμαλίας τὰ πράγματα καὶ κομιδῇ πραγματειώδους ἀεὶ χρήζοντα τῆς διοικήσεως εὖ δῆλον ὡς οὐκ ἔχει φύσιν ἀντέχειν ἄρα τῷ χρόνῳ, τρέπεταί γε μὴν καὶ ἡττᾶται· καὶ εἰ μόγις μὲν ἴσως, τρέπεται δ᾽ οὖν ὁτὲ τῶν χρόνων· καὶ τά τ᾽ ἄλλα δηλοῖ καὶ τὰ κατὰ τὰς πόλεις αὐτὰς καὶ πλεῖστα δὲ τούτων ἔχομεν παραδείγματα.

102. Τῇ γε μὴν βασιλικῇ καθ᾽ ἡμᾶς ταύτῃ πόλει τόδε δὴ μάλιστα κατὰ φύσιν ἔχει, τῶν τόπων ἡ εὐκαιρία, μόνη πασῶν ἐπὶ τῆς γῆς ὅλης ἐπίδηλος καὶ τῆς ὅλης εὐδαιμονίας ἀξία καὶ σύμμετρος κιρναμένη καὶ διαρκής, ὡς ἀληθῶς, εἰς τὴν πᾶσαν χρῆσιν τοῦ βίου, καὶ ὡς ἂν ἅμα μὲν καθ᾽ ἑαυτὴν εὖ εἶναι καὶ πράττειν ἀλύπως τε καὶ ἀνόσως, ἅμα δὲ καὶ πρὸς τὴν ἁπάντων ἀνθρώπων κοινωνίαν καὶ χρῆσιν· καὶ πρόδηλος, ἔφην, εἷς οὑτοσὶ γνώμων καὶ κανὼν τῆς κατὰ πασῶν τῶν ἄλλων πόλεων ὑπερβολῆς καὶ πλεονεξίας τῶν καλλίστων, τὸ μόνης ἐξαίρετον ἐπὶ γῆς ἀναμφήριστον αὐτῇ λάχος, ἁπλοῦν ὂν αὐτὸ καὶ μόνον, τῆς ἐπικαίρου θέσεως. Ἀλλὰ μὴν καὶ μέγεθος οὕτω κάλλιστον (f.297ᵛ)καὶ καλλίστων ἁπάντων παμπλῆρες οὐδεμιᾶς ἄλλης τοσοῦτο παραβάλλειν ἔξεστι κατὰ τήνδε τὴν πόλιν, καταμέρος δ᾽, ὡς ἐρεῖν, ἔπειτα καὶ προχειρίσασθαι νῦν εἶναι τὰς τῶν ἄλλων πρώτας ἐκ τοῦ παντὸς αἰῶνος πόλεων. Βαβυλὼν μὲν ἐκείνη πρότερον ἤνθησεν ἐπὶ καιρῶν· καὶ τειχῶν αὐτῇ περίβολος οὐκ ὀλίγον ἐπ᾽

[303] οὐδὲ addidi

ἀληθείας τὸ χρῆμα καὶ τὸ μῆκος μέγιστον ὧν ἄλλων ἴσμεν ἁπάντων· πλὴν ὅμως τῆς τἆλλα πάντα τε καὶ τόδε μὴν ἔτι θαυμαστῆς τῆσδε πόλεως, καὶ ἅμα τῆς τέχνης αὐτῷ μεγίστη καὶ τῆς κατασκευῆς ἐπιμέλεια κατ᾽ ἀμφότερα, πολὺ μὲν τἀσφαλές, πολὺ δὲ τὸ κάλλος· καὶ ἀρχὴν μὲν ἐκείνη πόλις οὐκ εὐκαταφρόνητον ἀλλὰ καὶ λόγου γε ἀξίαν τῆς ἁπάσης Ἀσσυρίων, ἀρχὴν δὲ καί τινων ἄλλων ἐθνῶν, ὅσων ἄρα δή τινων καὶ οἵων προσπεριβάλλεται· καὶ χώρας καὶ γῆς εὐγένεια πρὸς τὴν φορὰν αὐτῇ καὶ τεχνῶν σοφία παντοία καὶ τἆλλα ὡς ἂν εὐδαίμονος πόλεως. Ἀλλὰ τί ταῦτα πάντα πρὸς ταῦτα δὴ πάντα τῆς πόλεως καθ᾽ ἡμᾶς ταύτης νῦν, τὰ τῆς ἀρχῆς ἔξωθεν δὴ πρὸς τὰ τῆς ἀρχῆς, τὰ τῆς οἴκοι λαμπρότητος πρὸς τὰ καταχώραν τῇδε θαύματα; Ἀβρότης μέν γ᾽ ἐκείνη βαρβαρικὴ καὶ δαπάνη καὶ τρυφὴ καὶ βλακεία πομπεύουσα τῇ τύχῃ[304] καὶ τῶν ὄντων σπαθῶσα καὶ καθόλου γε περιουσία καὶ πολυτέλεια.

103. Τί ταῦτ᾽ ἂν εἴη λοιπόν, ὥστε καὶ παραβάλλειν πρὸς τὴν ἐνθάδ᾽ ἑλληνικὴν τῆς πόλεως σωφροσύνην, ἐλευθερίαν τε καὶ τὸ μεγαλόψυχον ἅμα τῷ μέτρῳ καὶ θεσμοὺς καὶ νόμιμα τῆς φύσεως καθεστῶτα καὶ κοσμίαν καὶ μουσικὴν πάντα διὰ πάντων ἀγωγὴν καὶ ὄντως κατ᾽ ἀνθρώπους προσήκουσαν εὐρυθμίαν τε καὶ συμμετρίαν πολιτευμάτων καὶ πάνθ᾽ ἡρμοσμένον καθόλου βίοτον· χωρὶς δὲ τοῦ καὶ ταῦθ᾽, ἅπερ ἐκείνοις εἴρηται, πάντων ἂν μᾶλλον ἄλλων ἀνθρώπων τὴν πόλιν τήνδ᾽ οἵαν τ᾽ εἶναι κατορχεῖσθαι τοῦ βίου καὶ τῆς ἐνθάδε περιουσίας τε καὶ πολυτελείας τἀκείνης πολλῷ λείπεσθαι καὶ ὥστε νηπίων ἐκεῖνα παίγνια δοκεῖν εἶναι (f.298[r])καὶ παίδων τιν᾽ ἀσχολίας ἀθύρματα πρὸς τὸ τῆσδε τῆς πόλεως μεθ᾽ ὑπερβολῆς κράτος, ὃ καὶ καταλογίσασθαι καὶ παράλληλα θέντα ἀποδεικνύναι πόσῳ δή τινι καὶ προφέρει, τίς ἂν οἷός τ᾽ εἴη; Μᾶλλον δὲ καὶ μαίνεσθαι τοῦτ᾽ ἂν εἴη καὶ μελαγχολᾶν λαμπρῶς· καὶ λόγος

[304] τῇ τύχῃ V[pc] : τῆς τύχης V[ac]

οὐδεὶς οὐκ ἔστι τῇ τῶν ἀνδρῶν ἐκείνων καὶ τῇ πόλεως ἐκείνης ἀβελτερίᾳ[305] καὶ ὕβρει καὶ ἀπειροκαλίᾳ κατὰ τῶν προσόντων μάτην, οὑτωσί πως ἐρεῖν, ὥστε καὶ παραμετρεῖσθαι πρὸς τἀνθάδε τῆς πόλεως ἀπαράμιλλα καὶ ὥστε πρὸς τὸ μέγεθος αὐτὸ τῆς οὐσίας καὶ τὸν πλοῦτον τῆς κτήσεως καὶ ὥστε πρὸς τὴν χρῆσιν αὐτὴν ἔγκαιρον· καὶ τὰ μὲν πλείω παρήσειν μοι δοκῶ. Ἀλλ' ἴσμεν γε ὡς ἐκείνοις στενὰ κατὰ φύσιν, πᾶσα ἀνάγκη, τὰ τῆς εὐδαιμονίας ἐν τούτοις καὶ τῆς εὐφορίας καὶ τῷ τοῦ παντός, ὡς εἰπεῖν, ἡμίσει σαφῶς ἐνέλειπε· καὶ τὰ 'κ τῆς θαλάσσης γὰρ ἀπῆν ἀγαθά, πρᾶγμα τοσοῦτο τῇδε τῇ πόλει, καὶ ἡ τῆς ἀλλοτρίας εὐπραγίας κομιδῇ πάντοθεν ἀνύσιμος εὐαγωγία καὶ κομιδὴ καὶ ῥαστώνη φορᾶς τῶν τοσούτων κατάπλων τῆς οἰκουμένης εὖ περαινόντων εἰς λιμένα τόνδε τῇ πόλει κοινὸν ἁπάντων ἀνθρώπων. Ἀλλ' ἐκείνοις ἄρα τοσαύτης δὴ τῆς προσθήκης, ὅσα γε πρὸς τὴν ἀφθονίαν τοῦ βίου καὶ τὴν ἐπίδειξιν τῶν ὄντων, ἐνέδει καὶ ἦν ἐρημία· καὶ ὀλίγοις ἦν, ὡς ἔοικεν, ἀνθρώπων αὐτῶν τε δὴ καὶ τῆς κατὰ σφᾶς αὐτοὺς εὐδαιμονίας πεῖρα καὶ συναίσθησις καὶ χρῆσις διὰ τὴν ἄμικτον, ὡς ἄν τις εἴπῃ, τῶν[306] πλείστων ἀνθρώπων ἀποχώρησιν κατὰ φύσιν τῆς χώρας καὶ τὰ 'κ τῆς θαλάσσης ἀκοινώνητα. Καὶ ποταμὸς ἦν Εὐφράτης ἐν μέσοις ῥέων, τὸ πέρας τῆς εὐξείας, καὶ Τίγρης δεύτερος ἐκεῖνος αὖ παραῤῥέων ἔγγιστα. Θάλαττα δ', ὡς εἰκάσαι, τοσαύτη τοῦ παντὸς καὶ τῶν ὄντων ἀπόμοιρα, ἠγνοεῖτο σφίσιν ἂν εἴ τί γε τῶν ὄντων ἄρ' ἐστὶν ἐν τῷ βίῳ ἢ διήγημά τι τῶν ἀπίστων ἴσως ἂν ἦν καὶ τεραστίων, καὶ ταῦτα παρ' ἧς, ἐμοὶ δοκεῖν, αἱ πλείους τῶν τεχνῶν εἰς τὸν βίον ἐπορίσθησαν καὶ ἡ πλείων τῆς ζωῆς χρῆσις (f.298^{v})καὶ τῆς οἰκουμένης αὐτῆς, ὡς εἰπεῖν, κοινοπολιτεία.

[305] ἀβελτηρίᾳ V
[306] τῶν V^{sl}

104. Πρὸς γὰρ δὴ τοῖς εἰρημένοις καὶ τοῦτ' ἐρεῖν ἔτ' ἐστὶ καὶ προσθεῖναι, ὅτι καὶ τῆς ἀρχῆς ἄρ' αὐτῆς οὐ μόνον τὸ μέγεθος πολὺ προήκει[307] τῇ βασιλικῇ τῇδε πόλει καθ' ἡμᾶς ἢ κατὰ τὴν Ἀσσυρίων ἐκείνην ἡγεμονίαν καὶ τῷ τῶν ἐθνῶν ἀριθμῷ τοσούτῳ παμπληθὲς τὰ καθ' ἡμᾶς Ῥωμαίων κράτη προφέρει ἀλλὰ καὶ τῇ τῶν ἐθνῶν, ὧν ἐπῆρξεν αὐτῶν, εὐγενείᾳ καὶ δόξῃ καὶ φήμῃ μεγίστῃ· καὶ ἦν οὐκ ἔστι παραβαλεῖν ἀντὶ τῆς βαρβαρικῆς ἐκείνης ἀβελτερίας[308] τε καὶ βλακείας ἑλληνικὴν σοφίαν καὶ μεγαλοφροσύνην καὶ ἀντὶ τῆς ἐκείνων δουλοπρεπείας καὶ μικρογνωμοσύνης ἐθίμου τὴν αὐτῶν Ἑλλήνων ἐλευθερίαν καὶ μεγαλοψυχίαν καὶ λεῖμμα περιττὸν ἐν μνήμῃ παλαιᾷ καὶ πείρ' ἀεὶ συνεχῶς τῶν χρόνων καὶ ἀντὶ τῆς ἐκείνων μανίας καὶ ἀπαιδευσίας καὶ ὕβρεως καὶ φλυαρίας τὴν αὐτῶν δὴ τῶν εἰρημένων ἐνθάδ' εὐαρμοστίαν καὶ πολιτικὴν ὄντως καὶ μουσικὴν εὐχρηστίαν. Καὶ τί ἄν τις προσθείη φέρων ἑξῆς; Ἃ δὴ πάντ' ἐπαύξει παντὶ τρόπῳ λοιπὸν τὴν εὐδαιμονίαν ἐνταῦθα τῇ πόλει πᾶσαν καὶ τοὺς τῆς ἀρχῆς καρπούς, πλοῦτον, δόξαν, ἁβρότητα πᾶσαν, ἔργ' ἐπιδείξεως, ὡς δὴ καὶ προὐλέγομεν, φρόνημα μάλιστα πᾶν ἄλλ' ὁ,τιοῦν ἑπόμενον, ἵνα μὴ λέγω καθ' ἕκαστα. Καὶ μὴν ὁ μὲν τραγικὸς φησὶν Εὐριπίδης ὡς ἄρα πρὸς τὰς τύχας τὰς φρένας κεκτήμεθα, καὶ ὁρῶμεν ἀληθῶς δὲ[309] τοῦτ' ἐπὶ τῶν πραγμάτων καὶ οὐκ ἂν ἐρεῖ τις ἄλλως. Ἀλλὰ καὶ Δημοσθένης αὐτὸς ἔπειθ' ὕστερον χρόνοις παραπλησίως, ὡς ἄρα καὶ πρότερον ἐν ἄλλοις ἡμῖν εἴρηται, ὁποῖά ποτ' ἂν ᾖ, φησί, τοῖς ἀνθρώποις τὰ πράγματα, τοιαῦτα καὶ τὰ φρονήματα γίγνεται· καὶ πάντα κάλλισθ' ἡμῖν ἃ 'κείνου καὶ πολὺ τὸ καίριον τοῖς λόγοις. Ἔξεστι δ', οἶμαι, νῦν ἐπὶ τῆς Ῥωμαίων μεγάλης ἡγεμονίας ταυτησὶ καὶ τοῦ τοσούτου πραγμάτων ὄγκου τῆς κατὰ τήνδε τὴν (f.299[r])πόλιν ἀρχῆς, ἧς

[307] προήκει V^{pc} : προῆκον V^{ac}
[308] ἀβελτηρίας V

ξυνέλαχε τὴν ἀρχήν, οὐ μόνον λοιπὸν τἀξίωμα ἐντεῦθεν τοῦ φρονήματος αὐτῇ καὶ τὸ βάρος τῆς μεγαλοπρεπείας τε καὶ μεγαλονοίας καὶ περινοίας ἔπειτ' ἀκολουθοῦν ξυλλογίζεσθαι παμμέγεθες, ὡς εἰκός, οἷον κατὰ τοὺς σοφοὺς ἐκείνων τῶν ἀνδρῶν λόγους, μᾶλλον δ', ὡς ἄρα κἀπὶ τῶν πραγμάτων ἔδειξαν καὶ βοᾷ τὰ ἔργα σφίσιν, ἀλλ' ἄρα καὶ τοῦτ' ἔξεστι μάλιστα λογίζεσθαι, ὡς ἄρ' ὁποία[310] δὴ προπαρασκευὴ φρονήματος καὶ γνώμης ἅμιλλα καὶ ὁπλισμὸς τοσοῦτον δὴ καὶ τηλικοῦτον μέγεθος ἀρχῆς ἐπῆρε καὶ κατεπράξατο γεννικῶς οὑτωσὶ καὶ συγκατεσκεύασε καὶ κατεστήσατο καλλίσταις ἀγωγαῖς τε καὶ τέχναις εὐμαθέστατα καὶ νομιμώτατα καὶ εὐαγέστατα καὶ ὡς οὐκ ἔστιν ἕτερα παραπλήσι' ἄττα ἢ ὡς ἂν ἔγγιστά πως παρατιθέναι ταῖς ἐνταῦθα τῆς πόλεως ὑπερβολαῖς· καὶ οὐ λέγω νῦν ἔγωγε βαβυλωνίαν ἐπικράτειαν ἥντιν' ἄρα δὴ καὶ βάρβαρον ἐκείνην ἀκολασίαν καὶ ἀμετρίαν καὶ φθορὰν καὶ νόσον ἑπομένην, ὡς τὰ πολλά, ταῖς βαρβαρικαῖς ἀρχαῖς καὶ τύχαις.

105. Ἀλλὰ φέρε γὰρ καὶ τῶν ἄλλων μεγίστων ἐνίας, πάντως δὲ τὰς μείζους, ἐνταῦθα προχειρισόμεθα καὶ ὀψόμεθα τὰ τῆς πόλεως παράλληλα θέντες εἴ πῃ παρείκοι, μᾶλλον δ' ὅσον γε ἥδε προήκει πολλῷ δεύτερα τὰ 'κείνων λείπουσ' ὀψόμεθα. Ἀλεξάνδρου πόλις ἐπ' Αἰγύπτου μέγιστον ὄνομα καὶ κλέος ἐν Ἕλλησι καὶ βαρβάροις καὶ διὰ τὴν τύχην τοῦ πολιστοῦ καὶ διὰ τὸ μέγεθος κατ' αὐτὴν καὶ διὰ τὴν ὕστερον ἀκμὴν καὶ διὰ τὸ τῆς χώρας καινίζον καὶ ξενοπρεπὲς καὶ θαυμάσιον οἷον ἀξιόλογον. Αἰγύπτιοί τε γὰρ καὶ Νεῖλος πολὺ κατὰ πάντας ἀνθρώπους θαῦμα καὶ πολλοὶ τῶνδ' ἐξηγηταὶ καὶ πολλοὶ τὰς ἱστορίας κατ' αὐτοὺς ἐπόνησαν[311]. Ἀλλὰ καὶ ἡ Σελεύκου μεγίστη πόλις, μητρόπολις ἁπάσης, Ἀντιόχεια, Συρίας, ἐκείνη, πολυδόξου πολυδοξοτάτη τε

---

[309] δὲ V^{sl}

[310] ὁποία V^{pc} : ὁποίου V^{ac}

καὶ καλλίστη, πλεῖστον ἤκμασεν ἐπὶ τῶν προτέρων (f.299^{v})χρόνων οὐ μόνον ἀρετῇ πάσῃ καὶ χώρας καὶ πόλεως καὶ κατὰ φύσιν καὶ κατ᾽ ἄσκησιν ἀμέλει πᾶσαν καὶ τῶν οἰκούντων ἀστειότητα καὶ φιλοκαλίαν ἀλλὰ καὶ τύχης εὐφορίᾳ καὶ περιβολῇ δυναστείας ἀξίᾳ μνήμης τὸν αἰῶνα πάντα καὶ λόγου· καὶ παντοίοις γε μὴν οἰκοδομήμασι καὶ κατασκευαῖς ἐλαμπρύναντο τὴν πόλιν Ἀντιοχεῖς ἐκεῖνοι, οὐκ οἶδ᾽ ὡς εἴ τινες ἄλλοι πλεῖον πλὴν ἄρα τῆσδε τῆς πόλεως· καὶ κατεκοσμήσατο πόλις ἐκείνη περιττῶς καὶ μάλιστ᾽ ἢ κατὰ τὰς ἄλλας τὴν οἵκοι κατὰ χώραν τῆς φύσεως εὐκαιρίαν τῇ τῆς τύχης εὐνοίᾳ καὶ τοῖς αὐτῆς[312] δώροις καὶ ταῖς συναλλαγαῖς καὶ σπουδῇ καὶ φιλοτιμίᾳ σφετέρ᾽ αὐτῆς καὶ τῶν αὐτὴν ἐποικησάντων, καὶ πολλὰ καὶ θαυμαστὰ μέχρι νῦν ἐκείνη πόλις ἀκούει. Ἀλλὰ τοῦτ᾽ εὐθὺς αὐτίκ᾽ ἀκούει μόνον, ὁρᾶν δ᾽ οὐκ ἔστιν ἔτι πω καὶ νῦν, ἀλλ᾽ οἴχεται τὰ κλέα καθάπαξ, ὡς ἂν εἰ καὶ μὴ γέγονεν ὅλως. Ἀλλὰ μήπω τοῦτο, ἀλλ᾽ ὅτι γε τέως ἤνθησε πάσης εὐπραγίας καὶ καλλονῆς πάσης. Ἕλληνές τε ἀμφοῖν τῶν πόλεων πολισταὶ καὶ οἰκήτορες Ἕλληνες τὰ πρῶτα· καὶ Μακεδόνων ἀκμὴ τηνικαῦτα τῶν χρόνων καὶ τύχης πομπὴ καὶ κράτος ἐπὶ τῆς[313] γῆς θριαμβεῦον, ἀρχαὶ πατρῷαι καὶ θεμέλια τῶν πόλεων τῶνδ᾽ ἀμφοῖν ταῦτα, καὶ ταὐτὰ δὴ καὶ παραπλήσια κοινὰ τῆς ἀγαθῆς τύχης προοίμια καὶ προγονικῆς εὐκληρίας δόξα[314]. Χωρὶς δὲ τούτων ἔτ᾽ ἔχομεν περὶ τῶνδε τῶν πόλεων λέγειν ὡς κἀπὶ τῶν καιρῶν πρότερον ἐκείνων μέγα ταῖς πόλεσιν ὄνομα ταύταις κἀν τοῖς χριστιανικοῖς ἔπειτ᾽ αὐτοῖς τουτοισὶ χρόνοις μάλιστα· καὶ τἆλλ᾽ ἅπαντα καθόλου πράγματα καὶ χριστιανικὰ μὲν οὖν, ὡς εἰπεῖν, αὐτὰ πράγματα σεμνύνει καὶ ἀμφοτέρας τὰς πόλεις ἐν ὀλίγῳ τῶν ἐπὶ τῆς οἰκουμένης πόλεων ἀριθμῷ, ὥστ᾽ ἀμέλει τὰ πρῶτα καὶ αὐτὰς εἶναί τε καὶ ἀκούειν. Ἀτὰρ δὴ

[311] ἐπόθησαν] γρ. ἐπόνησαν V
[312] αὐτοῖς V
[313] τῆς V^{sl}

ταῦτα πάνθ', ὅσα γε καὶ εἴρηται, τῶν πόλεων τῶνδ' ἀμφοτέρων πρὸς μὲν ἄλλας πόλεις (f.302[r]) παραβάλλειν ἕκασθ', ὡς ἀληθῶς, καὶ τὰς εἶναί τι καὶ νῦν εἶναι καὶ πρότερον δοκούσας καιρὸν ἔχει καὶ μάλ' ἔχει, φήμ' ἔγωγε, καὶ μέγεθος πρὸς μέγεθος καὶ κάλλος πρὸς κάλλος καὶ χάριν ἅπασαν πρὸς ἐκείνων ὠντινωνοῦν ἠντιναοῦν ἅπασαν καὶ κατασκευὰς καὶ δημιουργίας πρὸς πᾶσαν πάντων ἄλλων ἐπίδειξιν καὶ ἄλλάττα πρὸς ἄλλων ἐκείνων ἕτερ' ὁμοίως ἔχοντα ἄττα· καὶ οὐδὲν ὅ,τι μὴ τῇδέ γε πόλει καθ' ἡμᾶς ταῦτα χώρα προσάγειν οὐκ ἔστιν, ὡς ἂν ἀμηγέπῃ καὶ τολμᾶν ἁμιλλᾶσθαι οὐ κατὰ πάνθ' ὁμοῦ τοῖς αὐτῆς ὁμοῦ πᾶσιν, εἰ δὲ βούλεταί τις, ἴσως καὶ τῶν πολλῶν προσόντων ἐνίοις οὐ καθ' ἓν ὁ,τιοῦν ἕκαστον, ὃ μάλιστα ἂν δόξαιεν κράτιστον αὖται πόλεις ἐν τοῖς σφετέροις αὐτῶν ἔχειν καὶ τῶν ἄλλων προέχειν αὐτῷ γε δή τινι.

106. Οὔκουν γε οὐ κάλλος ὁ,τιοῦν, οὐ χρήσιμον ὁ,τιοῦν, οὐ φυσικὴν ἀρετὴν ἅπασαν, οὐ πάντα πράγματα καὶ παλαιὰ πρότερον διηγήματα καὶ μνήμην θαυμάτων τινῶν καὶ νέα καὶ φαινόμενα νῦν εἶναι χρῆσθαι, μέγεθος δὲ καὶ θέσεως εὐκαιρίαν καὶ οἰκοδομημάτων λαμπρότητας μανία τις ἂν εἴη, φημί, καὶ μεμνῆσθαι νῦν γε εἶναι τῇ πάντα θαυμαστῇ τῇδε πόλει καὶ κατὰ κόσμον ἔτ' εὐπραγίαν τῇδε τῷ βίῳ καὶ μὲν δὴ καὶ πάνθ', ὅσα, φημί, τῇ χριστιανικῇ καθ' ἡμᾶς διαπρέπει πίστει καὶ μεγίστην ὄντως φέρει τὴν εὐδοξίαν. Ἃ πολλῷ δὴ τῶν ἐνθάδε καθ' ἡμᾶς λείπεται καὶ λόγος οὐδεὶς τοῖς ἐκείνων λείπεται παραθεῖναι ταῦτα δή, καὶ ὅσα συγγραφαὶ φέρουσι καὶ θησαυρίζουσιν αὐταῖν ἀμφοῖν, οἷς καὶ θαῤῥεῖν μάλιστ' ἔχουσι, καὶ ὅσα δὲ τοῖς νῦν τουτοισὶ χρόνοις δυσκλεῆ[315] καὶ τλήμονα καὶ μοχθηρὸν αὐταῖς βίοτον ἐπαντλεῖ καὶ μακραίωνα ταύτην τύχης ἀλλοτριότητα καὶ δυσμένειαν καὶ περιφανῆ διὰ τὴν παλαιὰν εὐκληρίαν

[314] δόξα V[pc] : δόξης V[ac]
[315] δυσκλεᾶ V

ἐκείνην καὶ οὐ λανθάνουσαν τοῖς νῦν τούτοις καιροῖς ἐκ πολλῶν μὲν οὖν τῶν ἐτῶν κακοπραγίαν καὶ ἀνθ' ἧς ἠλλάξαντο θεοσεβείας τυραννίδα καὶ ὕβριν δυσσεβείας καὶ (f.302^{v})θρησκευμάτων ἀτίμων βδελυρίαν[316] καὶ βαρβαρικῆς δυναστείας χρόνιον ἀκμήν, δι' ἧς ἐπὶ πλείστων ἤδη τῶν καιρῶν παρέρχονται διαθλεύουσαι[317] καὶ ταλαιπωρούμεναι καὶ καταπολιορκούμεναι διόλου πονήρως τὴν ζωὴν καὶ βίον αὗταί γ', ὡς ἀληθῶς, ἀβίωτον ἕλκουσαι καὶ νοσοῦσαι μὲν τὰ θεῖα καὶ χριστιανικὰ πράγματα μακρῶν ἤδη τῶν χρόνων, νεκρωθεῖσαι δὲ πάλαι τὴν ἅπασαν ἀγαθὴν τοῦ παρόντος βίου τύχην, κατισχυούσης ἀεὶ τῆς πονηρᾶς καὶ παλαμναίας κατ' αὐτῶν χειρὶ πάσῃ καὶ ῥώμῃ πάσῃ καὶ ῥύμῃ καὶ φορᾷ τοσαύτῃ πολλῶν, ὡς ἔφην, ἐτῶν ἀσχέτῳ, καὶ τραπεῖσαι πᾶσαν τὴν ἑλληνικήν τε καὶ ῥωμαϊκὴν εὐγένειαν.

107. Καὶ τί ἂν ἐν τοῖς κακίστοις τοῖσδε καὶ χρῆσθαι καὶ μνημονεύειν ἔτι τρίβοιμεν ἐπαντλοῦντες φιλανθρώποις ἀκοαῖς δυστυχίαν λόγων τοσαύτην καὶ προσεπιφοροῦντες καὶ κόπτοντες ἐπεργαζόμενοι τῶν αἰσχίστων, ὡς μὴ ὄφελον, τῶνδε καὶ ἀνιαρωτάτων καὶ ἀηδεστάτων διηγημάτων; Ἀλλ' ἐπαναλάβωμεν ἔτι, μέγεθος μέν γε τῶν εἰρημένων, φαμέν, ἀμφοτέρων πόλεων καὶ οἰκοδομημάτων λαμπρότητας τί χρὴ καὶ παρατιθέναι καὶ μεμνῆσθαι; Καὶ τοῦτ' εὔδηλον, ὡς οὐ ταῦτ' ἔγωγε νῦν εἶναι τὰ παρόντα καὶ φαινόμενα λέγω ἀλλ' ὅσα καὶ παλαιὰ πρότερον διηγήματα καὶ μνήμη θαυμάτων τινῶν ἐκείνων ἐκ νῦν ἐρειπίων λειφθέντων τῶνδε καὶ συγγραφικῶν ταμείων, οἶμαι, συλλογιζόμενα καὶ τεκμαίρεσθαι χώραν ἔχοντα καὶ συγκροτούμενα μᾶλλον παρὰ τῆσδ', ὡς ἔοικε, τῆς ἐπιλείψεως καὶ δυστυχίας, ὥστε καὶ ἴσως καταψεύδεσθαι λοιπὸν ἄττα δὴ μετ' ἀδείας ἐντεῦθεν ἀνεξελέγκτου τῶν ὄντων

[316] βδελλυρίαν V
[317] διαεθλεύουσαι V

καὶ τῆς προτέρας ἐκείνης ἱστορίας τῶν ἐπιδείξεων· καὶ ταῦθ' ὅστις ἂν μὴ τῷ λόγῳ πείθοιτο, τῇ παροιμίᾳ νέμομεν χώραν· καὶ ὀφθαλμοῖς γάρ, φησί, δῆλα, καὶ ξυγχωροῦμεν πειρᾶσθαι καὶ περαίνειν ἐξ ὧν (f.300^{r})ἐστιν ὁρᾶν λειψάνων τὰ πρώην ἐκεῖνα παντελῆ κάλλη καὶ δῶρα τύχης καὶ φιλοπονίας ἐπιδεικτικῆς ἔργα βέλτισθ', οἷς αἵδε πόλεις ξυνέλαχον· καὶ τοῦτο μὲν δὴ τοσοῦτ' ἐχέτω νῦν.

108. Ἀλλὰ μὴν τὰς τῶν πόλεων τουτωνί γ' ἀμφοτέρων ἐκείνας, ἃς προέφημεν, ἐπὶ τῶν προτέρων ἀμέλει χρόνων ἀρχὰς ἐνταῦθα δὴ νῦν εἶναι προστιθέναι τε καὶ προφέρειν παραβάλλοντας τοῖς τῆς βασιλίδος τοῖσδε πράγμασι, μὴ καὶ λῆρος αἴσχιστος εἴη καὶ πολλὴ ἀηδία καὶ ἀωρία καὶ γέλωτα μακρὸν ὀφλισκάνειν μεταξὺ προϊόντα τῶν λόγων· χωρὶς γὰρ τιθεμένῳ[318] τὴν ὀλιγότητα τῶν ἀρχῶν ἐκείνων καὶ ὡς αἱ μὲν ἐφ' ἑνὸς μόνου τῶν τριῶν ἁπάσης οἰκουμένης μερῶν καὶ τούτου γ' ἐπὶ μέρους ὁτουοῦν τοῦ ξυλλαχόντος καὶ ἀμφότεραι πόλεις αἵδε προσέσχον τὸν νοῦν καθάπαξ καὶ Ἀσία μόνη, μᾶλλον δὲ τῆς Ἀσίας αὐτῆς μέρος καὶ τοῦτό γε οὐ μέγιστον, θέατρον αὐταῖς ἤνοιξεν ἀγώνων διαρκές, ἐφ' οὗ γε καὶ ἠθλοθέτησε ταῖς πόλεσι τοὺς πόνους τῶν ἐπιδείξεων, ἐφ' οὗ καὶ παρεσκευάσανθ' αὗται καὶ ἀπεδύσαντ' εὖ μάλα, καθ' ὅσον οἷόν τ' ἦν καὶ καθ' ὅσον εἶχον φρονήματος, καὶ συνετάξαντο τὴν ὅλην σπουδὴν καὶ κατεπράξαντο καὶ κατήνυσαν ἄττα δή· χωρὶς γοῦν, ὡς ἔφην, τιθεμένῳ[319] ταῦτα πρὸς τὰ τόσα καὶ τόσα μεγέθη καὶ πλάτη τῆς κατὰ τὴν βασιλικὴν πόλιν ἡγεμονίας ἐκείνης, τοῦτο μὲν ἐπ' αὐτῆς τῆς Ἀσίας, τοῦτο δ' ἐπὶ τῶν λοιπῶν δυοῖν, αὐτῆς Εὐρώπης ἄρα καὶ τῆς Λιβύης, ὅ,τι ποῤῥωτάτω, ὧν δὴ καὶ πάντα συνέσχε καὶ ὑπεποιήσατο τὰ κάλλιστα καὶ τῷ κοινῷ τῶν ἀνθρώπων ἐξαρχῆς ἀξιολογώτερα καὶ τῷ παντὶ βιωφελέστερα· χωρὶς γοῦν, ὡς ἔφην,

[318] expectes τιθεμένου
[319] expectes τιθεμένου

